BIBLIOTHECA
SCRIPTORUM GRAECORUM
ET ROMANORUM
TEUBNERIANA

HESIODI CARMINA

EDIDIT

A. RZACH



LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI

DIESES·BUCH·GEHÖRT

EX LIBRIS



EINAR GJERSTAD

HESIODI CARMINA

RECENSUIT

ALOISIUS RZACH

EDITIO ALTERA

ACCEDIT CERTAMEN QUOD DICITUR HOMERI ET HESIODI



MCMVIII
LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI



LIPSIAE: TYPIS B. G. TEUBNERI

PRAEFATIO

De Hesiodi codicibus aliisque subsidiis quibus in constituendis poetae verbis usus sum cum in praefatione editionis maioris, quam ante hos sex annos publici iuris feci fusius exposuerim, hoc loco ea tantum repetam quae de libris papyrorumque fragmentis praestantissimis dicenda esse arbitror. Quorum autem interest, ut tota recensionis fundamenta accuratius cognoscant, quaestiones meas aliorumque in quibus his de rebus plenius actum est inspiciant: quas in praefatione illa numeratas invenient.

Atque Theogoniae quidem librorum qui integrum carmen servarunt optimus est Laurentianus XXXII 16, melioris codicum classis (Ω) quasi dux et signifer. Neque tamen alterum genus (Ψ), quamvis contextum aliquanto deteriorem exhibeat, omnino neglegendum est. Item e reliquiis codicis Athoi (nunc Parisini suppl. graec. 663) aliquid ad carmen emendandum conferri potuit. Eximias vero quasdam lectiones laciniae papyrorum Parisinae (suppl. graec. 1099) et Vindobonensis (Raineri archiducis, nunc bibl. caes. L. P. 21—29) suppeditant: adde minutiora fragmenta papyri Londinensis (CLIX), quae in museo Britannico asservatur.

Inter Operum codices medio aevo exaratos primum locum obtinent Parisinus 2771 et Laurentianus XXXI 39, quorum uterque cetera sui generis exempla et vetustate

et auctoritate longe superat. Carminis formam qualem illi praebeant ex uno eodemque fonte ortam per duas librorum classes (Ω Ψ) propagatam esse constat: contra grammatici cuiusdam Byzantini recensionem tertio genere (Φ) contineri persuasum habeo: cuius testis princeps est cod. Messanius (bibl. universitatis 'praeexistens' 11). Reliqua quae extant trium classium (Ω Ψ Φ) germina recentiora libris secundariis adnumeranda sunt. Papyrorum ope aliquot versus feliciter emendari potuerunt: nam ut omittam frustula versuum 199—204, 241—246, quae nuper in papyro Berolinensi 7784 oblata ne unam quidem lectionem speciosiorem complectuntur, eximia quam supra dixi papyrus Vindobonensis permagni ducenda est; accedit alia lacinia nunc Genavensis (pap. 94) ad narrationem de heroum genere accuratius aestimandam utilis.

Scuti codicum meliorum duo genera (Ω Ψ) statui: quorum primarios Ambrosianum C 222 inf. et Laurentianum XXXII 16 esse probavi. Neque praetermittamus duo carminis fragmenta ex Athone monte oriunda, quae nunc in cod. Parisino (supplem. graec. 663), cuius iam mentionem feci, collecta inveniuntur. Ad Scuti reliquias quae iam prius ex optima papyro Vindobonensi (Raineri archiducis) innotuerant, accessit lacinia Oxyrhynchi reperta (pap. 689), qua carmen extremum continetur. Praeterea excerptum quoddam (v. 207 sqq.) post Homeri versus Σ 596—608 in papyro Berolinensi 9774 oblatum est.

Fragmentorum seriem novis Catalogi partibus auctam invenies, quae in papyris Berolinensibus leguntur. In quo genere summae virtutis esse videtur pap. 10560, qua narratio de procis Helenae Fragm. 94 incohata absolvitur: altera pars admodum insignis ad Iovem pertinet, qui consilium capit humani generis abolendi. Ex aliis frustis (pap. 9777 et 7497) haud contemnendis nonnulla de fabulis Meleagri et Bellerophontis cognovimus. Quae

cuncta in editione principe a Schubartio et Wilamowitzio egregie curata foras data sunt (Berlin. Klassikertext. V 1, 22 sqq.). Maximo mihi usui fuisse fateor, quod W. Schubart, vir doctissimus, papyros illas Berolinenses, et imprimis pap. 10560 adeo detritam, ut minor tantum pars eius photographice describi posset, mea causa post Crönertum denuo inspexit: unde factum est ut lectiones quasdam dubias controversasque facilius perpendere possem. Cuius speciosae voluntatis ei gratias ago quam maximas. Aliud carminis de Bellerophonte frustum, quod e thesauris Oxyrhynchi effossis Grenfell et Hunt ediderunt (pap. Oxyrhynch. 421), in fragmentis dubiis collocandum censui.

Ceterum me in retractato hoc volumine ut testimonia observationesque veterum ita quaestiones recentiorum eadem qua antea diligentia in meam rem convertisse non est quod commemorem. De orthographia id unum moneam me ut rectiorem scribendi rationem vel invitis libris restituerem operam dedisse; *ν* quod dicunt paragogicum ante voces olim digammo initiali instructas omisi.

Certamen Homeri et Hesiodi breviore commentario critico ornatum in calce editionis adicere haud incommodum visum est.

Scr. Pragae Idibus Aprilibus MCMVIII

INDEX

ΘΕΟΓΟΝΙΑ

NOTAE LIBRORUM

A = papyrus Parisina bibl. publicae ('nationalis') 'supplem. graec. 1099' saec. IV—V
B = lacinia papyri Londinensis musei Britannici CLIX saec. fere IV
R = fragmenta papyri Raineri archiducis Austriae nunc bibl. caesareae Vindobonensis L. P. 21—29 saec. IV

C = fragmenta quae extant in codice Parisino bibl. publicae ('nationalis') 'supplem. graec. 663' saec. XII
D = cod. Florentinus bibl. Laurentianae XXXII 16 saec. XIII (1281)

E = cod. Florentinus bibl. Laurentianae conv. suppress. 158 saec. XIV
F = cod. Parisinus bibl. publicae ('nationalis') 2833 saec. XV

G = cod. Romanus bibl. Vaticanae 915 saec. XIV
H = cod. Parisinus bibl. publicae ('nationalis') 2772 saec. XIV
I = cod. Florentinus bibl. Laurentianae XXXI 32 saec. XV

K = cod. Venetus bibl. Marcianae IX 6 saec. XIV
L = cod. Parisinus bibl. publicae ('nationalis') 2708 saec. XV

Ex his adnumerandi sunt

classis Ω { generi a (Ωa) codices CD; generi b (Ωb) codices EF; generi c (Ωc) codices GHI }

classi Ψ codices KL

Libri contaminati

1. recensionis **x**:

cod. Romanus bibl. Casanatensis 356 saec. XIV
cod. Romanus bibl. Vaticanae 1392 saec. XV
cod. Florentinus bibl. Laurentianae LXXXXI sup. 10 saec. XV

2. recensionis **t** (Triclinii):

cod. Venetus bibl. Marcianae 464 saec. XIV (1316—1320) eiusque satellites

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
αἵ θ' Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε
καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσιν
ὀρχεῦνται καὶ βωμὸν ἐρισθενέος Κρονίωνος.

καί τε λοεσσάμεναι τέρενα χρόα Περμησσοῖο
ἢ Ἵππου κρήνης ἢ Ὀλμειοῦ ζαθέοιο
ἀκροτάτῳ Ἑλικῶνι χοροὺς ἐνεποιήσαντο
καλούς, ἱμερόεντας· ἐπερρώσαντο δὲ ποσσίν.
ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῇ,
ἐννύχιαι στεῖχον περικαλλέα ὄσσαν ἱεῖσαι,
ὑμνεῦσαι Δία τ' αἰγίοχον καὶ πότνιαν Ἥρην
Ἀργείην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
κούρην τ' αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην
Φοῖβόν τ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν
ἠδὲ Ποσειδάωνα γαιήοχον, ἐννοσίγαιον,
καὶ Θέμιν αἰδοίην ἑλικοβλέφαρόν τ' Ἀφροδίτην
Ἥβην τε χρυσοστέφανον καλήν τε Διώνην
Λητώ τ' Ἰαπετόν τε ἰδὲ Κρόνον ἀγκυλομήτην

3 *ἀμφὶ περὶ* ex Hom. *B* 305 Priscianus Inst. XIV 34 5 *παρνησσοῖο* D, *Τερμησσοῖο* Zenodotus Ωbc 6 *ὁλμειοῦ* D 9 *πολλῷ* DΩbG, e corr. I 15 *γεήοχον* D 17 *Ἥρην* Plutarchus Mor. 747f 18 sq. inverso ordine D 18 eiecit Paley *ἀγκυλόμητιν* (*ι* in ras.) I, *ἀγκυλομῆτιν* D Aristidis XXVIII 20 codd. aliquot

Ἠῶ τ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Γαῖάν τ' Ὠκεανόν τε μέγαν καὶ Νύκτα μέλαιναν
ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.
αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδήν,
ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὕπο ζαθέοιο.
τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπον,
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·
ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα, γαστέρες οἶον,
ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα,
ἴδμεν δ', εὖτ' ἐθέλωμεν, ἀληθέα γηρύσασθαι.
ὣς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι·
καί μοι σκῆπτρον ἔδον δάφνης ἐριθηλέος ὄζον
δρέψασαι θηητόν· ἐνέπνευσαν δέ μ' ἀοιδὴν
θέσπιν, ἵνα κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα.
καί μ' ἐκέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων,
σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστατον αἰὲν ἀείδειν.
ἀλλὰ τί ἦ μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;

Τύνη, Μουσάων ἀρχώμεθα, ταὶ Διὶ πατρὶ
ὑμνεῦσαι τέρπουσι μέγαν νόον ἐντὸς Ὀλύμπου,
εἰρεῦσαι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,

---

19 om. E post 26 Apollonius Rhod. quaedam videtur desiderasse 27 ἴσμεν Athenagoras lib. pro Christ. 24 28 γηρύσασθαι K, μυθήσασθαι superscr. γρ. γηρύσασθαι L, γρ. γηρύσασθαι schol.; μυθήσασθαι Ω (superscr. γηρύσασθαι m. al. E) 29 μοῦσαι HI, γρ. κοῦραι m. al. marg. I, κεῖναι Ωb 30 ἔδων Ψ 31 δρέψασαι Ψ, δρεψάμεναι Tzetzes Vit. Hes., δρέψασθαι Ω schol. Aristides XXVIII 23 K., θρέψασαι Nicephorus Gregoras in Synes. p. 373 D P., Nicephorus Chumnus Anecd. Gr. III 385 Boiss. μ' ἀοιδὴν scripsi, μοι ἀοιδὴν Aristidis cod. U, ᾠδήν Lucianus diss. c. Hes. 1, μοι αὐδὴν libri et Aristidis codd. (praeter U) 32 θέσπιν ex Hom. α 328 θ 498 Goettling, θεσπέσιον Lucianus, θεσπεσίην Aristides, θείην libri 33 με κέλονθ' Ωbc 34 τε om. Ωb, με D ὕστατον ex ὕστερον rest. D, ὕστερον ΩbcΨ 37 ἐντὸς] αἰὲν GHΨ

φωνῇ ὁμηρεῦσαι· τῶν δ' ἀκάματος ῥέει αὐδὴ
ἐκ στομάτων ἡδεῖα· γελᾷ δέ τε δώματα πατρὸς
Ζηνὸς ἐριγδούποιο θεᾶν ὀπὶ λειριοέσσῃ
σκιδναμένῃ· ἠχεῖ δὲ κάρη νιφόεντος Ὀλύμπου
δώματά τ' ἀθανάτων. αἱ δ' ἄμβροτον ὄσσαν ἱεῖσαι
θεῶν γένος αἰδοῖον πρῶτον κλείουσιν ἀοιδῇ
ἐξ ἀρχῆς, οὓς Γαῖα καὶ Οὐρανὸς εὐρὺς ἔτικτεν,
οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἐάων.
δεύτερον αὖτε Ζῆνα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ † λήγουσαί τ' ἀοιδῆς,
ὅσσον φέρτατός ἐστι θεῶν κράτεΐ τε μέγιστος.
αὖτις δ' ἀνθρώπων τε γένος κρατερῶν τε Γιγάντων
ὑμνεῦσαι τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.
τὰς ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖσα
Μνημοσύνη, γουνοῖσιν Ἐλευθῆρος μεδέουσα,
λησμοσύνην τε κακῶν ἄμπαυμά τε μερμηράων.
ἐννέα γάρ οἱ νύκτας ἐμίσγετο μητίετα Ζεὺς
νόσφιν ἀπ' ἀθανάτων ἱερὸν λέχος εἰσαναβαίνων·
ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
ἣ δ' ἔτεκ' ἐννέα κούρας ὁμόφρονας, ᾗσιν ἀοιδὴ
μέμβλεται ἐν στήθεσσιν, ἀκηδέα θυμὸν ἐχούσαις,
τυτθὸν ἀπ' ἀκροτάτης κορυφῆς νιφόεντος Ὀλύμπου.

---

41 *θεᾶν* Ωc (superscr. ῶ G) schol., *θεῶν* DΩbΨ 42 *κιδναμένῃ* D 43 *τ'* om. D, *δώματ'* Ωbc (m. rec. corr. G) K 44 *αἰδοίων* (ω e corr. I) HI 48 proscripsit Guyet *ὑμνεῦσιν ἰδὲ λήγουσαι ἀοιδῆς* L. Dindorf, *καὶ ἐκλήγουσαι ἀοιδῆς* Ludwich, *λήγουσι* DHI, *γρ. λήγουσαι* m. rec. marg. I 49 *ὅσσον* superscr. *γρ. τόσσον* E, *τόσσον* D *φέρτερος* Ωc, *γρ. φέρτατος* m. rec. marg. I *κάρτει* Ωbc 55 *γρ. μνη* marg. E 58 *ἔτραπεν* D 61 *μέλλεται ἐν* HI, *μέμηλέ τ' ἐν* Ψ, *μέμβλετ'* (*μέμβλετο*) *ἐνὶ* v. Leeuwen post *στήθεσσιν* interpunxit Peppmüller

[ἔνθα σφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά.
πὰρ δ' αὐτῇς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν
ἐν θαλίῃς· ἐρατὴν δὲ διὰ στόμα ὄσσαν ἱεῖσαι
μέλπονται πάντων τε νόμους καὶ ἤθεα κεδνὰ
ἀθανάτων κλείουσιν, ἐπήρατον ὄσσαν ἱεῖσαι.]

αἳ τότ' ἴσαν πρὸς Ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ,
ἀμβροσίῃ μολπῇ· περὶ δ' ἴαχε γαῖα μέλαινα
ὑμνεύσαις, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει
νισομένων πατέρα ὅν· ὃ δ' οὐρανῷ ἐμβασιλεύει,
αὐτὸς ἔχων βροντὴν ἠδ' αἰθαλόεντα κεραυνόν,
κάρτεϊ νικήσας πατέρα Κρόνον· εὖ δὲ ἕκαστα
ἀθανάτοις διέταξεν ὁμῶς καὶ ἐπέφραδε τιμάς.

ταῦτ' ἄρα Μοῦσαι ἄειδον, Ὀλύμπια δώματ' ἔχουσαι,
ἐννέα θυγατέρες μεγάλου Διὸς ἐκγεγαυῖαι,
Κλειώ τ' Εὐτέρπη τε Θάλειά τε Μελπομένη τε
Τερψιχόρη τ' Ἐρατώ τε Πολύμνιά τ' Οὐρανίη τε
Καλλιόπη θ'· ἣ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.
ἣ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
ὅν τινα τιμήσωσι Διὸς κοῦραι μεγάλοιο

63—67 seclusit Wolf   64 αὐταῖς D schol. Pind. Ol. IX 39, αὐτῇ in suo verborum conexu Plutarchus Mor. 49f   τε om. ΩbHIΨ   ἔθεντο Plutarchus   65 θαλίαις D   68 'ἐπεσημήνατο ταῦτα ὁ Ἀριστοφάνης' schol.   71 πατέρα ὃν Brugmann, πατέρ' εἰς ὃν libri, πατέρα σφὸν Scheer   73 sq. ἑκάστῳ | ἀθανάτων schol.   78 ΤΕΡΨΙΧΟΡΗ (Ψ e corr., fuit Π) A, ΣΤΕΣΙΧΟΡΕ crater Clitiae (Françoisii)   ΠΟΛΥΜΝΙΣ ex eodem vase L. Schmidt   τ'] Δ · A   79 θ' om. schol. Genav. Hom. *B* 484   ἡ δὲ m^2 in ἡ δὴ mut. D, ἥδε Ψ, ἡ δὴ Macrobius in Cic. Somn. Scip. II 3, 2 (bis), ἡ σφέων Diodorus IV 7, 2, ἣ καὶ Ioannes Galen.; τ' εἴδει (pro θ'· ἣ δέ) Stobaeus XLVIII 12   81 τιμήσωσι Dio Prus. II 24 Aristidis II p. 131, 18 D. cod. A Stobaei cod. M, τιμήσουσι ου m^2 in ω mut. AD, τιμήσουσι(ν) CΩbcΨ Themistius IX 122a XXXI 355 c Stobaei codd. SA

γεινόμενόν τε ἴδωσι διοτρεφέων βασιλήων,
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἐέρσην,
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ τε λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὃ δ' ἀσφαλέως ἀγορεύων
αἶψά κε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσεν·
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι
ῥηιδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν.
ἐρχόμενον δ' ἀν' ἀγῶνα θεὸν ὣς ἱλάσκονται
αἰδόι μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν·
τοίη Μουσάων ἱερὴ δόσις ἀνθρώποισιν.
ἐκ γάρ τοι Μουσέων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί,

---

82 *τε ἴδωσι* (*τε εἴδωσι* pars codd.) Themistius XXXI 355 c Stobaeus, ΤЄ⟨σ?⟩ЄΙΔѠCΙ A, *τ' ἐσίδωσι* Ω Dio Aristides, *τ' ἐπίδωσι* Ψ 83 *τοῦ* Themistius *χεύουσιν* D Themistius *ἀοιδήν* Ωc (superscr. *ἐέρσην* G) Ψ Aristides Stobaeus 84 ЄΠЄΚ A *μειλίχια* Themistii codd. plerique *τε* A Aristides Themistius, *νυ* ΩΨ Stobaeus 86 *ἀτρεκέως* Aristides l. c. *ὃ δ' ἀσφαλέως ἀγορεύει* ex Hom. *ϑ* 171 (adiuncto *ϑ* 172 = Theog. 92) Aristides II p. 131, 9 D. 87 ΚЄ A, *τε* ΩΨ Epictetus II 12, 16 Aristides II p. 132, 5 D. Stobaeus l. c. et II c. 4 s. 1 W. 91 ΑΝ.Α⟨γω⟩ΝΑ A, *ἀν' ἀγῶνα* schol. Ven. B Townl. Hom. Ω 1, *γρ. ἀν' ἀγῶνα* schol. superscr. in E, in marg. Ψ; *ἀνὰ ἄστυ* ex Hom. *ϑ* 173 Ω (*ἂν αάστυ* C) Ψ Stobaeus II c. 4 s. 1 W. *ἱλάσκονται* ΩΨ, ЄΙCΟΡ⟨οω⟩C⟨ιν ex Hom. *ϑ* 173 A 93 ΤΟΙΗ A, *οἷά* (vel *οἷα*) *τε* ΩΨ ΔѠCΙC A 94—97 = Hymn. Hom. XXV 2—5 94 om. Ψ (in marg. m² L) *γάρ τοι Μουσάων* Ω schol. Ven. A B Hom. *Α* 176 Cornuti c. 32 (Lang) codd. genera a b scholior. Pind. Pyth. IV 313 Nem. III 71 codd. pars, *γὰρ Μουσάων* Hymn. Hom. XXV 2 Cornuti codicum genus c; *μὲν Μουσάων* legisse videntur Themistius VII 89 c XIII 170 b Eustathius Hom. 76, 2 *καὶ Ἀπόλλωνος ἑκάτοιο* (ex Hom. *Η* 83 al.) Themistius utroque loco 95 *χθονὶ* Hymn. Hom. XXV 3 schol. Hom. Ven. A B schol. Pind. Pyth. et Nem. Cornuti codd. PMV m²

ἐκ δὲ Διὸς βασιλῆες· ὃ δ' ὄλβιος, ὅν τινα Μοῦσαι
φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
εἰ γάρ τις καὶ πένθος ἔχων νεοκηδέι θυμῷ
ἄζηται κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλέεα προτέρων ἀνθρώπων
ὑμνήσῃ μάκαράς τε θεούς, οἳ Ὄλυμπον ἔχουσιν,
αἶψ' ὅ γε δυσφροσυνέων ἐπιλήθεται οὐδέ τι κηδέων
μέμνηται· ταχέως δὲ παρέτραπε δῶρα θεάων.

Χαίρετε, τέκνα Διός, δότε δ' ἱμερόεσσαν ἀοιδήν.
κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων,
οἳ Γῆς τ' ἐξεγένοντο καὶ Οὐρανοῦ ἀστερόεντος,
Νυκτός τε δνοφερῆς, οὕς θ' ἁλμυρὸς ἔτρεφε Πόντος.
εἴπατε δ', ὡς τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος, οἴδματι θυίων,
ἄστρα τε λαμπετόωντα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
[οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἐάων]
ὥς τ' ἄφενος δάσσαντο καὶ ὡς τιμὰς διέλοντο
ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
ταῦτά μοι ἔσπετε Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι
[ἐξ ἀρχῆς, καὶ εἴπαθ', ὅ τι πρῶτον γένετ' αὐτῶν.]

---

97 ῥέεν Ψ (ι pro ν in ras. L) 99 ἀκαχημένος D Et. gen. v. νεοκηδέι θυμῷ, ἀκεχημένος HI (prius ε in α mut.. m² I) 100 κλέεα Nauck, κλεῖα libri 101 ὑμνήσει Ωc, e corr. C, ΥΜΝΕ///CΑΙ A 102 αἶψα δ' ὃ Ψ ΔΥCΦΡΟCΥ<νεων A, δυσφροσυνέων ΩaL; δυσφρονέων ΩbHIK, δυσφρονάων G 105 ἱερὸν] μακάρων Theophilus ad Autol. II 5 p. 83c 106 Γῆς τ' ἐξεγένοντο D, τ' om. CΩbcΨ, Γαίης (τ' addit Peppmüller) ἐγένοντο Koechly 107 δὲ IΨ θ' om. C Theophilus 109 οἶδμά τε πόντου Hippolytus Phil. c. 26 ΘΥ<ιων ut videtur A (cf. 131), θύων ΩΨ 111 om. A Theophilus Hippolytus 112 τ' ἄφενον D, στέφανον (corrupte = τ' ἄφενον) Hippolytus 114 sq. obelo notavit Seleucus 115 proscripsit Aristarchus ἔπειθ' (Diels, ἔπειτα codd.), ὅτι περ Hippolytus

Ἦ τοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
[ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,]
Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης,
ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,
λυσιμελής, πάντων δὲ θεῶν πάντων τ' ἀνθρώπων
δάμναται ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν.
ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο·
Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
οὓς τέκε κυσαμένη Ἐρέβει φιλότητι μιγεῖσα.
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑ' αὐτῇ
Οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι,
ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί.
γείνατο δ' Οὔρεα μακρά, θεῶν χαρίεντας ἐναύλους,

116 πάντων μὲν Aristoteles Metaph. I 4 Phys. IV 1 auctor lib. de Meliss. 1 Asclepius in Arist. Metaph. 29, 30 H. schol. Hom. Ven. AB Ξ 246 γὰρ πρῶτα Sextus Emp. Pyrrhon. Hypot. III 121 117 θνητῶν Herwerden 118 sq. non commemorant Plato Symp. 178 B Aristoteles auctor lib. de Meliss. Sextus Emp. adv. math. IX 8 Asclepius Stobaeus I c. 9 s. 5 118 non legit Chalcidius in Plat. Tim. 122 οἳ et τοὶ Cornuti codd. κάρην Hippolytus 119 'ἀθετεῖται' schol. ἠνεμόεντα Hippolytus 120 ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισιν (cf. Hymn. Hom. Apoll. Pyth. 149) Aristoteles auctor lib. de Meliss. 121 δὲ Peppmüller, τε libri τ' om. Ψ 122 στήθεσφι Hippolytus 123 δ'] T A, om. schol. Eurip. Or. 176 124 sq. om. Theophilus 125 om. Hippolytus 126 πρώτη μὲν Hippolytus, πρώτιστον schol. Pind. Nem. VI 1 ἑ' (= ἑοῖ) αὐτῇ scripsi, ἑαυτῇ ΩΨ Didymus Hippolytus schol. Soph. El. 86 schol. Pind. schol. Arati 22 Cyrillus Alex. c. Iul. II 53 Aub. Stobaeus I c. 10 s. 9 Et. gen. v. οὐρανός Meletius Anecd. Ox. III 94 Cr.; ΕΩΥΤΗΙ adiecta coronide A, ἑωυτῇ Theophilus 127 περὶ πᾶσαν ἐέργοι (ἐέργη, ἐέργει) Cornuti c. 17 codd. aliquot schol. Hom. Townl. Μ 5 καλύπτῃ AΩbGΨ schol. Pind. Theophilus Cyrillus Stobaei cod. F (-ει P) Et. gen. Meletius 128 ὅς ῥ' εἴη Stobaei cod. P 129 ΘΕ<?>Ν A, θεᾶν Theophilus, θεὰ in Hippolyto, cuius libri ὅσα habent, coniecit Usener

[Νυμφέων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα.]
ἣ δὲ καὶ ἀτρύγετον πέλαγος τέκεν, οἴδματι θυῖον,
Πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα τέκ' Ὠκεανὸν βαθυδίνην,
Κοῖόν τε Κρῖόν θ' Ὑπερίονά τ' Ἰαπετόν τε
Θείαν τε Ῥείαν τε Θέμιν τε Μνημοσύνην τε
Φοίβην τε χρυσοστέφανον Τηθύν τ' ἐρατεινήν.
τοὺς δὲ μέθ' ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτης,
δεινότατος παίδων· θαλερὸν δ' ἤχθηρε τοκῆα.

Γείνατο δ' αὖ Κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας,
Βρόντην τε Στερόπην τε καὶ Ἄργην ὀβριμόθυμον,
[οἳ Ζηνὶ βροντήν τε δόσαν τεῦξάν τε κεραυνόν.]
οἳ δή τοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν,
μοῦνος δ' ὀφθαλμὸς μέσσῳ ἐνέκειτο μετώπῳ.
[Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα σφέων
κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ·]
ἰσχὺς δ' ἠδὲ βίη καὶ μηχαναὶ ἦσαν ἐπ' ἔργοις.

[οἳ δ' ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες] 142b

---

130 seiunxit Goettling 131 *δὲ* om. codd. Theophili, *ἠδὲ* ΩbcΨ Hippolyti libri ΥΔΜΑΤΙ A, *οἴδμασι* D ΘΥ͡ΙΟΝ A, *θῦον* codd. cett. 134 *Κρῖον* Et. mag. s. v., *κρεῖον* libri (Κ<ρ>ЄΙΟΝ A) Zeno (schol.) Plutarchus Mor. 880 c. Hippolytus Cyrillus c. Iul. II 53 Aub. Et. gen. v. *Κοῖον* 135 *θεῖαν τερρεῖαν* D, *Θείην* Eustathius Hom. 978, 56 137 *ἀγκυλόμητις* Nauck 139 *ἦτορ*] *ὕβριν* E 141 eiecit Goettling *βροντὴν Ζηνὶ ἔδοσαν* schol. Laur. Apoll. Rhod. Arg. *A* 730 *τε δόσαν* La Roche, *τ' ἔδοσαν* libri 142 schol.: *Κράτης ἀντὶ τούτου ἄλλον στίχον παρατίθεται* (142 b) '*οἳ — αὐδήεντες*' 143 *ὀφθαλμὸς δὲ ἕεις μέσσῳ ἐνέκειτο* (corr. G. Dindorf) *μετώπῳ* Herodianus *περὶ μον. λέξ.* I 18, 30 144 sq. seclusit Wolf 144 *ἐπώνυμοι* Et. gen. v. *Κύκλωπες* Anecd. Ox. I 254 Cr. *ἄρ' αὐτοῖς* Et. gen. Anecd. Ox. 145 *ἕεις* FG Herodianus, *ἑεις* C *ἐπέκειτο* Anecd. Ox. II 134 146 *τ'* ΩbcΨ

ἄλλοι δ' αὖ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
τρεῖς παῖδες μεγάλοι τε καὶ ὄβριμοι, οὐκ ὀνομαστοί,
Κόττος τε Βριάρεώς τε Γύης θ', ὑπερήφανα τέκνα.
τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀίσσοντο
ἄπλαστοι, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν·
ἰσχὺς δ' ἄπλητος κρατερὴ μεγάλῳ ἐπὶ εἴδει.

Ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
δεινότατοι παίδων, σφετέρῳ δ' ἤχθοντο τοκῆι
ἐξ ἀρχῆς· καὶ τῶν μὲν ὅπως τις πρῶτα γένοιτο,
πάντας ἀποκρύπτασκε, καὶ ἐς φάος οὐκ ἀνίεσκε,
Γαίης ἐν κευθμῶνι, κακῷ δ' ἐπετέρπετο ἔργῳ
Οὐρανός. ἡ δ' ἐντὸς στεναχίζετο Γαῖα πελώρη
στεινομένη· δολίην δὲ κακήν τ' ἐφράσσατο τέχνην.
αἶψα δὲ ποιήσασα γένος πολιοῦ ἀδάμαντος
τεῦξε μέγα δρέπανον καὶ ἐπέφραδε παισὶ φίλοισιν·
εἶπε δὲ θαρσύνουσα, φίλον τετιημένη ἦτορ·
παῖδες ἐμοὶ καὶ πατρὸς ἀτασθάλου, αἴ κ' ἐθέλητε
πείθεσθαι, πατρός κε κακὴν τεισαίμεθα λώβην
ὑμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
ὣς φάτο· τοὺς δ' ἄρα πάντας ἕλεν δέος, οὐδέ τις αὐτῶν
φθέγξατο. θαρσήσας δὲ μέγας Κρόνος ἀγκυλομήτης

---

148 *τε* supplevit Hermann, om. libri 149 *τ' Ὀβριάρεως* Hermann *γύης* m. rec. superscr. *γ* I, *γύγης* ΩbGΨ Anecd. Par. III 6 Cr. 151 *ἄπλατοι* F, *ἄπλητοι* Hermann *δ'* Ωc 152 *στιβαροῖς μελέεσσιν* Moschopulus in Batrach 141 153 *δ'* cod. Casanat. 356 Laur. LXXXXI sup. 10, *τ'* Ω, om. Ψ *ἄπλαστος* Ψ 154 *ὅσσοι δὲ* Ψ 157 *ἀποκρύπτεσκε* E, *ἀπεκρύπτασκε* Ψ *ἀνίεσκε* Ωb, *ἀνίησκε* DΩcΨ 158 *ἐπιτέρπετο* Ωc Et. gen. v. *κευθμός* cod. A 159 *στεναχίζετο* Ωbc, *στοναχίζετο* DΨ 160 *ἀχνυμένη* Seleucus *δὲ* Aldus, *τε* libri *τ' ἐφράσσατο* Goettling, *ἐπεφράσσατο* libri 165 *πατέρος* HIΨ *κε* in ras. D, *γε* ΩbGΨ, *δὲ* HI 168 *μέγα* G *ἀγκυλόμητις* Nauck

ἂψ αὖτις μύθοισι προσηύδα μητέρα κεδνήν·
μῆτερ, ἐγώ κεν τοῦτό γ' ὑποσχόμενος τελέσαιμι
ἔργον, ἐπεὶ πατρός γε δυσωνύμου οὐκ ἀλεγίζω
ἡμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
ὣς φάτο· γήθησεν δὲ μέγα φρεσὶ Γαῖα πελώρη.
εἷσε δέ μιν κρύψασα λόχῳ· ἐνέθηκε δὲ χερσὶν
ἅρπην καρχαρόδοντα· δόλον δ' ὑπεθήκατο πάντα.
ἦλθε δὲ νύκτ' ἐπάγων μέγας Οὐρανός, ἀμφὶ δὲ Γαίῃ
ἱμείρων φιλότητος ἐπέσχετο καί ῥ' ἐτανύσθη
πάντῃ· ὃ δ' ἐκ λοχεοῖο πάις ὠρέξατο χειρὶ
σκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλλαβεν ἅρπην
μακρὴν καρχαρόδοντα, φίλου δ' ἀπὸ μήδεα πατρὸς
ἐσσυμένως ἤμησε, πάλιν δ' ἔρριψε φέρεσθαι
ἐξοπίσω· τὰ μὲν οὔ τι ἐτώσια ἔκφυγε χειρός·
ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι,
πάσας δέξατο Γαῖα· περιπλομένων δ' ἐνιαυτῶν
γείνατ' Ἐρινῦς τε κρατερὰς μεγάλους τε Γίγαντας,
τεύχεσι λαμπομένους, δολίχ' ἔγχεα χερσὶν ἔχοντας,
Νύμφας θ', ἃς Μελίας καλέουσ' ἐπ' ἀπείρονα γαῖαν.
μήδεα δ' ὡς τὸ πρῶτον ἀποτμήξας ἀδάμαντι
κάββαλ' ἀπ' ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ,
ὣς φέρετ' ἂμ πέλαγος πουλὺν χρόνον, ἀμφὶ δὲ λευκὸς
ἀφρὸς ἀπ' ἀθανάτου χροὸς ὤρνυτο· τῷ δ' ἔνι κούρη
ἐθρέφθη· πρῶτον δὲ Κυθήροισιν ζαθέοισιν
ἔπλητ', ἔνθεν ἔπειτα περίρρυτον ἵκετο Κύπρον.
ἐκ δ' ἔβη αἰδοίη καλὴ θεός, ἀμφὶ δὲ ποίη

---

171 πρ̀ς codd. recensionis x, πατέρος ΩΨ   174 χερσὶν D, χειρὶ ΩbcΨ   175 ἐπεθήκατο Ψ   178 λοχεοῖο Aristonicus (cf. schol.) schol. Hom. Ven. A Ψ 160 Et. gen. v. ἅρπη; λοχέοιο DHI, λεχέοιο G, λοχέοιο, in marg. γρ. καὶ λόχοιο E, λόχοιο FΨ; ἔκ τε λόχοιο? Heyne   188 θ' Ψ   190 ἂν D   πολὺν ΩbcΨ, πολλὸν v. Leeuwen   191 ὡρμὰ D

ποσσὶν ὕπο ῥαδινοῖσιν ἀέξετο· τὴν δ' Ἀφροδίτην
[ἀφρογενέα τε θεὰν καὶ ἐυστέφανον Κυθέρειαν]
κικλήσκουσι θεοί τε καὶ ἀνέρες, οὕνεκ' ἐν ἀφρῷ
θρέφθη· ἀτὰρ Κυθέρειαν, ὅτι προσέκυρσε Κυθήροις·
[Κυπρογενέα δ', ὅτι γέντο πολυκλύστῳ ἐνὶ Κύπρῳ·
ἠδὲ φιλομμηδέα, ὅτι μηδέων ἐξεφαάνθη.]
τῇ δ' Ἔρος ὡμάρτησε καὶ Ἵμερος ἕσπετο καλὸς
γεινομένῃ τὰ πρῶτα θεῶν τ' ἐς φῦλον ἰούσῃ.
ταύτην δ' ἐξ ἀρχῆς τιμὴν ἔχει ἠδὲ λέλογχε
μοῖραν ἐν ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
παρθενίους τ' ὀάρους μειδήματά τ' ἐξαπάτας τε
τέρψιν τε γλυκερὴν φιλότητά τε μειλιχίην τε.
τοὺς δὲ πατὴρ Τιτῆνας ἐπίκλησιν καλέεσκε
παῖδας νεικείων μέγας Οὐρανός, οὓς τέκεν αὐτός·
φάσκε δὲ τιταίνοντας ἀτασθαλίῃ μέγα ῥέξαι
ἔργον, τοῖο δ' ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι.

Νὺξ δ' ἔτεκεν στυγερόν τε Μόρον καὶ Κῆρα μέλαιναν
καὶ Θάνατον, τέκε δ' Ὕπνον, ἔτικτε δὲ φῦλον Ὀνείρων,
— οὔ τινι κοιμηθεῖσα θεὰ τέκε Νὺξ ἐρεβεννή, —

---

195 ῥαδινοῖσιν] alterum ρ m^1 superscr. D 196 aliunde illatum esse vidit Heyne ἀφρογενέα Werfer, ἀφρογένειαν libri Et. gen. v. Κυθέρεια Et. mag. v. Ἀφροδίτη 199 sq. seclusit Wolf 199 Κυπρογενέα Werfer, κυπριγενέα (γρ. κυπρογένεια marg. E) Ωb, κυπρογένειαν DGΨ, κυπρογένεια Et. gen. HI, κυπρογένειαν (m. rec. marg. H, superscr. m. rec. ν I) δ' DG, θ' ΩbK, τ' e θ' factum L, om. HI πολυκλύστῳ superscr. ρυ E, περικλύστῳ schol. Hom. Ven. B *E* 422 Et. mag. Κύπρῳ] πόντῳ recensio x Pseudochoricius in Rhod. 129 B. Et. gen. cod. B 200 φιλομμειδέα Muetzell et Bergk μειδέων cod. Casanat. 356 schol. Hom. min. *Γ* 424 ἐξεφαένθη v. Leeuwen 203 ἔχεν D 205 post μειδήματα m^1 τ' addit D, om. Ψ
Τ
210 τοῖς δ' ἤπειτα Ψ ΜΕΘΟΠΙCΘΕΓΕ⟨νεσθαι (Τ m. al.) B 213 eiecit Gruppe; post 214 posuit Schoemann θεὰ] . . . Ι B (vix fuit ΘΕΔ)

δεύτερον αὖ Μῶμον καὶ Ὀιζὺν ἀλγινόεσσαν

Ἑσπερίδας θ', ἧς μῆλα πέρην κλυτοῦ Ὠκεανοῖο
χρύσεα καλὰ μέλουσι φέροντά τε δένδρεα καρπόν.
καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους,
[Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵ τε βροτοῖσι
γεινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε,]
αἵ τ' ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσιν·
οὐδέ ποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο,
πρίν γ' ἀπὸ τῷ δώωσι κακὴν ὄπιν, ὅς τις ἁμάρτῃ.

τίκτε δὲ καὶ Νέμεσιν, πῆμα θνητοῖσι βροτοῖσι,
Νὺξ ὀλοή· μετὰ τὴν δ' Ἀπάτην τέκε καὶ Φιλότητα
Γῆράς τ' οὐλόμενον, καὶ Ἔριν τέκε καρτερόθυμον.
αὐτὰρ Ἔρις στυγερὴ τέκε μὲν Πόνον ἀλγινόεντα
Λήθην τε Λιμόν τε καὶ Ἄλγεα δακρυόεντα
Ὑσμίνας τε Μάχας τε Φόνους τ' Ἀνδροκτασίας τε
Νείκεά τε ψευδέας τε Λόγους Ἀμφιλλογίας τε

215—217 et 220—222 ab interpolatore illatos, 218 sq. postea adiectos esse exposuit A. Meyer   215 *ἧς* scripsi, *αἷς* libri post 216 olim nomina Hesperidum addita fuisse censuit Muetzell, cf. Fr. 270   217 *νηλεοποίνας* superscr. *ου*, in marg. *γρ. κλεοποίνους* E, *νηλεοποίνας* F   218 sq. neglexit Stobaeus I c. 3 s. 38 W.   218 *///λάχεσιν* (*λ* alter. eras.) D   220 *ἐφέπουσιν* D, ЄΦ . . : . . B, *ἐφέπουσαι* Ωbc*Ψ*   221 *οὐδέ ποτε* Hermann, *οὐδέποτε* codd. Stobaeus   *///λήγουσι* (*λ* alter. eras.) superscr. *αι* m^1 D 224 *ἔτεκεν δολόμητιν* Herwerden   225 *καρτερόμυθον* HI   227 *τε λιμόν* altero *λ* superscr. D, *τε* om. H, *λοιμὸν* om. *τε* I   228 eiecit Kirchhoff   *μαχας τε φον*>ΟΥϹΤ'·ΑΝΔΡΟ<*κτ*>\ϹΙ/ . . . B; eundem verborum ordinem exhibet recensio x; *φόνους τε μάχας τ' ἀνδροκτασίας τε* Ωbc, *φόβους τε μάχας τ'* (*τε Ψ*) *ἀνδροκτασίας τε* D*Ψ*   229 *ψεύδεά τε* GHK; *ψεύδεά* (*ς* addito m. rec.) *τε* EI, in marg. *γρ. ψευδέας τε λόγους* E   ΑΜΦΙΛΛ<*ο*>ΓΙΑϹ B, *ἀμφι^{λ}λογίας* D, *ἀμφιλογίας* superscr. *ἀντι* H

Δυσνομίην τ' Ἀάτην τε, συνήθεας ἀλλήλῃσιν,
Ὅρκον θ', ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.

Νηρέα δ' ἀψευδέα καὶ ἀληθέα γείνατο Πόντος,
πρεσβύτατον παίδων· αὐτὰρ καλέουσι γέροντα,
οὕνεκα νημερτής τε καὶ ἤπιος, οὐδὲ θεμιστέων
λήθεται, ἀλλὰ δίκαια καὶ ἤπια δήνεα οἶδεν·
αὖτις δ' αὖ Θαύμαντα μέγαν καὶ ἀγήνορα Φόρκυν
Γαίῃ μισγόμενος καὶ Κητὼ καλλιπάρῃον
Εὐρυβίην τ' ἀδάμαντος ἐνὶ φρεσὶ θυμὸν ἔχουσαν.

Νηρῆος δ' ἐγένοντο μεγήριτα τέκνα θεάων
πόντῳ ἐν ἀτρυγέτῳ καὶ Δωρίδος ἠυκόμοιο,
κούρης Ὠκεανοῖο, τελήεντος ποταμοῖο,
Πλωτώ τ' Εὐκράντη τε Σαώ τ' Ἀμφιτρίτη τε
Εὐδώρη τε Θέτις τε Γαλήνη τε Γλαύκη τε
Κυμοθόη Σπειώ τε Θόη θ' Ἁλίη τ' ἐρόεσσα
Πασιθέη τ' Ἐρατώ τε καὶ Εὐνίκη ῥοδόπηχυς
καὶ Μελίτη χαρίεσσα καὶ Εὐλιμένη καὶ Ἀγαυὴ

---

230 *τ'* D, om. *Ω*bc*Ψ* *Ἀάτην* Nauck, *ἄτην* libri *ἀλλήλοισιν* I*Ψ* 233 *τ'* *Ψ*, *δ'* in ras. I 234 ...ΑΡ B, *ἀτὰρ* *Ω*b*Ψ*, *τὸν δ' ἆρ* Schoemann, *ὅν τ' ἆρ* C. Schenkl 235 *θεμιστέων* GH*Ψ*, *θεμισθέων* (*ε* ex *ι* corr.) I, *θεμίστ*[ων] littera post *στ* erasa D, *θεμιστάων* *Ω*b, cf. ΘΕΜΙΣΣΤΑ deae nomen tit. Thessal. Roehl I. I. G. A.[2] 24, 3; *θεμίστων* Gerhard 240 *μεγήρατα* recensio x Et. mag. et Tittm. v. *μεγήρατα*; utramque lectionem agnoscunt scholia 243 ΠΛΩΤΩ scyphus Xenotimi, Conze Ant. Denkm. I 59, cf. ad 248; *πρωτώ* libri schol. Exeg., *Πρωθώ* Ioannes Galen., quod olim receperam *Εὐκράντη* *Ω*bG, *εὐκράτη* D*Ψ* scholia, *εὐκράτην* HI 245 *κυμοθέη* *Ψ* ΣΠΕΩ crater Wirceburg. Urlichs Verz. III 397, *Σπεεώ* Nauck *Θόη θ' Ἁλίη τ'* Valckenaer (Aristarch. Hom. *Σ* 40), *θοὴ θαλίη* libri schol. Exeg. 246 *Εὐνίκη* ex Apollodoro Graevius, *εὐνείκη* libri Et. gen. s. v.

Δωτώ τε Πρωτώ τε Φέρουσά τε Δυναμένη τε
Νησαίη τε καὶ Ἀκταίη καὶ Πρωτομέδεια
Δωρὶς καὶ Πανόπεια καὶ εὐειδὴς Γαλάτεια
Ἱπποθόη τ' ἐρόεσσα καὶ Ἱππονόη ῥοδόπηχυς
Κυμοδόκη θ', ἣ κύματ' ἐν ἠεροειδέι πόντῳ
πνοιάς τε ζαέων ἀνέμων σὺν Κυματολήγῃ
ῥεῖα πρηΰνει καὶ ἐυσφύρῳ Ἀμφιτρίτῃ,
Κυμώ τ' Ἠιόνη τε ἐυστέφανός θ' Ἁλιμήδη
Γλαυκονόμη τε φιλομμειδὴς καὶ Ποντοπόρεια
Ληαγόρη τε καὶ Εὐαγόρη καὶ Λαομέδεια
Πουλυνόη τε καὶ Αὐτονόη καὶ Λυσιάνασσα
— Εὐάρνη τε φυήν τ' ἐρατὴ καὶ εἶδος ἄμωμος —
καὶ Ψαμάθη χαρίεσσα δέμας δίη τε Μενίππη
Νησώ τ' Εὐπόμπη τε Θεμιστώ τε Προνόη τε
Νημερτής θ', ἣ πατρὸς ἔχει νόον ἀθανάτοιο.
αὗται μὲν Νηρῆος ἀμύμονος ἐξεγένοντο
κοῦραι πεντήκοντα, ἀμύμονα ἔργα ἰδυῖαι.

Θαύμας δ' Ὠκεανοῖο βαθυρρείταο θύγατρα
ἠγάγετ' Ἠλέκτρην· ἣ δ' ὠκεῖαν τέκε Ἶριν
ἠυκόμους θ' Ἁρπυίας Ἀελλώ τ' Ὠκυπέτην τε,

---

248 = Hom. Σ 43; *Πρωτώ* nomen in utroque Hesiodi versu reicit Bechtel; *Πλωτώ* (Ploto) Gyraldus, quod in v. 243 scripsi, *Πρωθώ* h. l. Schoemann, *τε Ῥωτώ* vel *τ' Εὐρωτώ* Peppmüller 249 *τε καὶ*] *τ'* G, *καὶ* (om. *τε*) libri cett. 250 *καὶ Δωρὶς Πανόπη τε* Peppmüller *Πανόπεια* Hermann, *πανόπη* libri 253 *ζαέων* Bergk (*ζαῶν* Prellwitz), *ζαθέων* libri, *ζαχρηῶν* ex Ioanne Galeno Scheer *κυματολήγῃ* (epitheton) quidam teste schol. 257 *Ληαγόρη* Fick, *λειαγόρη* codd. 258 *Πουλυνόη* ex Apollodoro Peppmüller, *πουλυνόμη* codd. 259 seclusit Ahrens 260 *καὶ δῖα* Goettling, *θείη τε* Paley 262 *νημερτής* (om. *θ'*) quidam sec. schol. 264 *ἔργα Ϝιδυῖαι* Lennep, *ἔργ' εἰδυῖαι* libri 267 *Ἁρπυίας* ΩcΨ Et. gen. s. v., *ἅρπυιας* DΩb ΩΚΥΓΟΗ<*ν* (cf. v. 360) B

αἵ ῥ' ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ' ἕπονται
ὠκείῃς πτερύγεσσι· μεταχρόνιαι γὰρ ἴαλλον.
Φόρκυϊ δ' αὖ Κητὼ Γραίας τέκε καλλιπαρήους
ἐκ γενετῆς πολιάς, τὰς δὴ Γραίας καλέουσιν
ἀθάνατοί τε θεοὶ χαμαὶ ἐρχόμενοί τ' ἄνθρωποι,
Πεμφρηδώ τ' ἐύπεπλον Ἐνυώ τε κροκόπεπλον,
Γοργούς θ', αἳ ναίουσι πέρην κλυτοῦ Ὠκεανοῖο
ἐσχατιῇ πρὸς νυκτός, ἵν' Ἑσπερίδες λιγύφωνοι,
Σθεννώ τ' Εὐρυάλη τε Μέδουσά τε λυγρὰ παθοῦσα.
ἣ μὲν ἔην θνητή, αἳ δ' ἀθάνατοι καὶ ἀγήρῳ,
αἱ δύο· τῇ δὲ μιῇ παρελέξατο Κυανοχαίτης
ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεσι εἰαρινοῖσιν.
τῆς δ' ὅτε δὴ Περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν,
ἔκθορε Χρυσάωρ τε μέγας καὶ Πήγασος ἵππος.
τῷ μὲν ἐπώνυμον ἦεν, ὅτ' Ὠκεανοῦ περὶ πηγὰς
γένθ', ὃ δ' ἄορ χρύσειον ἔχων μετὰ χερσὶ φίλῃσιν.
χὼ μὲν ἀποπτάμενος προλιπὼν χθόνα, μητέρα μήλων,
ἵκετ' ἐς ἀθανάτους· Ζηνὸς δ' ἐν δώμασι ναίει
βροντήν τε στεροπήν τε φέρων Διὶ μητιόεντι.
Χρυσάωρ δ' ἔτεκεν τρικέφαλον Γηρυονῆα
μειχθεὶς Καλλιρόῃ κούρῃ κλυτοῦ Ὠκεανοῖο.

---

268 *ἕποντο* Schoemann 270 *φόρκυνι* DΨ *καλλιπαρήας* recensio x; *καλλιπάρῃος* Seleucus 273 *Πεμφρηδώ* Ωb schol. Laur. Apoll. Rhod. Arg. Δ 1515 Et. gen. v. *πημαίνειν*, ΠΕΜΦΡΗΔΩΝ vas Halense Herm. XXXVI 159; *πεφρηδώ* DΩc Et. gen., *πεφριδώ* Ψ schol. Ioannes Galen., *τεφρηδώ* cod. Laur. LXXXXI sup. 10 *τ' ἐύπεπλον* GI, *τ' εὔπεπλον* codd. cett., *τ' ἰόπεπλον* Lolling 276 *Σθεννώ* D Nonnus Dion. XL 229, *σθενώ* (*σθηνώ*, *η* e corr. I) codd. cett. Herodiani *περὶ μον. λέξ.* I 13, 1 cod. 277 *μὲν οὖν* marg. D *ἀγήρῳ* ΩbΨ, *ἀγήρως* DΩc 280 *δ'* om. schol. Pind. Ol. XIII 89 *κεφαλὴν Περσεὺς* scholior. Pind. codd. GH 281 *ἔκθορε* cod. Paris. bibl. nat. 2678, *ἐξέθορε* ΩΨ schol. Pind. *χρυσάορ* GΨ scholior. Pind. cod. E 282 *ἦεν, ὅτ'* Nauck, *ἦν, ὅτ' ἄρ'* libri *παρὰ* ΩbGΨ 283 *γένθ'* Triclinius, *γείναθ'* D, *γένεθ'* libri cett. 287 *χρυσάορ* DΨ

τὸν μὲν ἄρ' ἐξενάριξε βίη Ἡρακληείη
βουσὶ παρ' εἰλιπόδεσσι περιρρύτῳ εἰν Ἐρυθείῃ
ἤματι τῷ, ὅτε περ βοῦς ἤλασεν εὐρυμετώπους
Τίρυνθ' εἰς ἱερὴν διαβὰς πόρον Ὠκεανοῖο
Ὄρθον τε κτείνας καὶ βουκόλον Εὐρυτίωνα
σταθμῷ ἐν ἠερόεντι πέρην κλυτοῦ Ὠκεανοῖο.

ἡ δ' ἔτεκ' ἄλλο πέλωρον ἀμήχανον, οὐδὲ ἐοικὸς
θνητοῖς ἀνθρώποις οὐδ' ἀθανάτοισι θεοῖσιν,
ἐν σπῆι γλαφυρῷ θείην κρατερόφρον' Ἔχιδναν,
ἥμισυ μὲν νύμφην ἑλικώπιδα καλλιπάρηον,
ἥμισυ δ' αὖτε πέλωρον ὄφιν δεινόν τε μέγαν τε
αἰόλον ὠμηστὴν ζαθέης ὑπὸ κεύθεσι γαίης.
ἔνθα δέ οἱ σπέος ἐστὶ κάτω κοΐλη ὑπὸ πέτρῃ
τηλοῦ ἀπ' ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων·
ἔνθ' ἄρα οἱ δάσσαντο θεοὶ κλυτὰ δώματα ναίειν.
ἡ δ' ἔρυτ' εἰν Ἀρίμοισιν ὑπὸ χθόνα λυγρὴ Ἔχιδνα,
ἀθάνατος νύμφη καὶ ἀγήραος ἤματα πάντα.

τῇ δὲ Τυφάονά φασι μιγήμεναι ἐν φιλότητι
δεινόν θ' ὑβριστήν τ' ἄνομόν θ' ἑλικώπιδι κούρῃ·
ἡ δ' ὑποκυσαμένη τέκετο κρατερόφρονα τέκνα.
Ὄρθον μὲν πρῶτον κύνα γείνατο Γηρυονῆι·
δεύτερον αὖτις ἔτικτεν ἀμήχανον, οὔ τι φατειὸν

---

290 *βουσὶν ἐπ'* (ex Hom. Z 424) *Ω*c *πολυρρύτῳ* D *εἰν* ex *ἐν* m[1] D, *ἐν* e corr. I, *ἐν Ψ* 293 sq. om. G, m. eadem additi H 293 *Ὄρθρον* Ioannes Galen.? *ἰδὲ* F 295 *οὐδὲ Ψ*, *οὐδὲν Ω* 297 *ἐν σπῆι* Gerhard, *ἐν σπέεϊ* Nauck, *σπῆι ἔνι Ω*, *σπῆι ἐν Ψ* 300 *αἰόλον* e schol. Scheer, *ποικίλον* libri 301 *κοΐλη* M. Schmidt, *κοίλη* codd. 304 *Εἰναρίμοισιν* Exegesis *ἐν* Sittl 307 *ἄνομον ΩΨ* Soph. Trach. 1096 Orac. Sib. II 259; *ἄνομον* et *ἄνεμον* schol., *ἄνομον* superscr. *ε* codd. Casanat. 356 Vatic. 1332 *θ'* om. *Ω*c *νύμφῃ, γρ. κούρῃ* marg. E; *κούρῃ, γρ. νύμφῃ* marg. F 308 *γένετο* D, *τέτοκε Ψ*

Κέρβερον ὠμηστήν, Ἀίδεω κύνα χαλκεόφωνον,
πεντηκοντακέφαλον, ἀναιδέα τε κρατερόν τε·
τὸ τρίτον Ὕδρην αὖτις ἐγείνατο λυγρὰ ἰδυῖαν
Λερναίην, ἣν θρέψε θεὰ λευκώλενος Ἥρη
ἄπλητον κοτέουσα βίῃ Ἡρακληείῃ.
καὶ τὴν μὲν Διὸς υἱὸς ἐνήρατο νηλέι χαλκῷ
Ἀμφιτρυωνιάδης σὺν ἀρηιφίλῳ Ἰολάῳ
Ἡρακλέης βουλῇσιν Ἀθηναίης ἀγελείης.
ἣ δὲ Χίμαιραν ἔτικτε πνέουσαν ἀμαιμάκετον πῦρ,
δεινήν τε μεγάλην τε ποδώκεά τε κρατερήν τε.
τῆς δ' ἦν τρεῖς κεφαλαί· μία μὲν χαροποῖο λέοντος,
ἣ δὲ χιμαίρης, ἣ δ' ὄφιος, κρατεροῖο δράκοντος,
[πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.]
τὴν μὲν Πήγασος εἷλε καὶ ἐσθλὸς Βελλεροφόντης.
ἣ δ' ἄρα Φῖκ' ὀλοὴν τέκε Καδμείοισιν ὄλεθρον
Ὄρθῳ ὑποδμηθεῖσα Νεμειαῖόν τε λέοντα,
τόν ῥ' Ἥρη θρέψασα Διὸς κυδρὴ παράκοιτις
γουνοῖσιν κατένασσε Νεμείης, πῆμ' ἀνθρώποις.
ἔνθ' ἄρ' ὃ οἰκείων ἐλεφαίρετο φῦλ' ἀνθρώπων,
κοιρανέων Τρητοῖο Νεμείης ἠδ' Ἀπέσαντος·
ἀλλά ἑ ἲς ἐδάμασσε βίης Ἡρακληείης.
Κητὼ δ' ὁπλότατον Φόρκυι φιλότητι μιγεῖσα
γείνατο δεινὸν ὄφιν, ὃς ἐρεμνῆς κεύθεσι γαίης

---

312 *πεντηκοντοκέφαλον* ΩbHIΨ schol. Soph. Trach. 1098 313 *λυγρὰ Ϝιδυῖαν* Lennep, *λύγρ' εἰδυῖαν* libri 315 *ἄπληστον* Hermann 320 *μεγάλην* superscr. altero *μ* D 321 *ἦν*] *αὖ* D 323 sq. = Hom. Z 181 sq.; eiecit Wolf 324 om. DΨ 326 *Φῖκ'* schol., *φίκ'* cod. Casanat. 356, *σφίκ'*, in marg. *σφίγγα* E, *φίγγ'* Ψ, *σφίγγ'* DFΩc, *γρ. φίκα* m. rec. marg. I 327 *Ὄρθρῳ* Ioannes Galen. 328 *τὸν* Ωb, *τὸν δ'* Ψ *κυδνὴ* HI 330 *ὃ* Peppmüller, *ὅ γ'* codd. 333 *φόρκυ* D 334 *ἐρεμνοῖς* Ψ Ioannes Galen., in ras. D

σπείρῃσιν μεγάλης παγχρύσεα μῆλα φυλάσσει.
τοῦτο μὲν ἐκ Κητοῦς καὶ Φόρκυνος γένος ἐστίν.
Τηθὺς δ' Ὠκεανῷ Ποταμοὺς τέκε δινήεντας,
Νεῖλόν τ' Ἀλφειόν τε καὶ Ἠριδανὸν βαθυδίνην
Στρυμόνα Μαίανδρόν τε καὶ Ἴστρον καλλιρέεθρον
Φᾶσίν τε Ῥῆσόν τ' Ἀχελώιόν τ' ἀργυροδίνην
Νέσσον τε Ῥοδίον θ' Ἁλιάκμονά θ' Ἑπτάπορόν τε
Γρήνικόν τε καὶ Αἴσηπον θεῖόν τε Σιμοῦντα
Πηνειόν τε καὶ Ἕρμον ἐυρρείτην τε Κάικον
Σαγγάριόν τε μέγαν Λάδωνά τε Παρθένιόν τε
Εὔηνόν τε καὶ Ἄρδησκον θεῖόν τε Σκάμανδρον.
τίκτε δὲ θυγατέρων ἱερὸν γένος, αἳ κατὰ γαῖαν
ἄνδρας κουρίζουσι σὺν Ἀπόλλωνι ἄνακτι
καὶ Ποταμοῖς, ταύτην δὲ Διὸς πάρα μοῖραν ἔχουσι,
Πειθώ τ' Ἀδμήτη τε Ἰάνθη τ' Ἠλέκτρη τε
Δωρίς τε Πρυμνώ τε καὶ Οὐρανίη θεοειδὴς
Ἱππώ τε Κλυμένη τε Ῥόδειά τε Καλλιρόη τε
Ζευξώ τε Κλυτίη τε Ἰδυῖά τε Πασιθόη τε
Πληξαύρη τε Γαλαξαύρη τ' ἐρατή τε Διώνη
Μηλόβοσίς τε Θόη τε καὶ εὐειδὴς Πολυδώρη
Κερκηίς τε φυὴν ἐρατὴ Πλουτώ τε βοῶπις
Περσηίς τ' Ἰάνειρά τ' Ἀκάστη τε Ξάνθη τε

---

335 *σπείρῃσιν μεγάλαις* Wilamowitz, *πείρασιν ἐν μεγάλοις* libri 336 *καὶ* D, *τε καὶ ἐκ* Ψ, *κἀκ* Ωb, *τε καὶ* Ωc *φόρκυος* Ωc 339 sq. om. HI 340 *Ἀχελώιόν τ'* Triclinius, *ἀχελώιον* codd. 341 *τε Ῥοδίον*] cf. Herodianus ad Hom. *M* 20, *τε ῥόδιον* codd., alterum ρ superscr. D *τε λιάκμονα* D 342 *θεῖόν τε Σιμόεντα* Muetzell, *Σιμόεντά τε θεῖον* Hermann, *Σιμόεντά τε δῖον* Menrad 345 *ἀλδήσκον* (λ in ras.) E, *ἀλδῆσκον* F *κάμανδρον* D 349 *ἀτμήτη* Ψ 351 *κταμένη* D (= *Κτιμένη*? Sittl) *ῥόδια* Ωb, *ῥοδία* HI 352 *τε ἰδυῖα* ΩbcΨ, *τ' εἰδυῖα* D, *Εἰδυῖα* etiam schol. Exeg. *Πασιθέα* schol., *πεισιθόη* FΩcΨ 353 *ἐρατώ* Ψ, *Ἐρατώ* schol. Exeg. 354 *θοή* EHI, unde *θοὴ καὶ* Peppmüller

Πετραίη τ' ἐρόεσσα Μενεσθώ τ' Εὐρώπη τε
Μῆτίς τ' Εὐρυνόμη τε Τελεστώ τε κροκόπεπλος
Χρυσηίς τ' Ἀσίη τε καὶ ἱμερόεσσα Καλυψὼ
Εὐδώρη τε Τύχη τε καὶ Ἀμφιρὼ Ὠκυρόη τε
καὶ Στύξ, ἣ δή σφεων προφερεστάτη ἐστὶν ἁπασέων.
αὗται δ' Ὠκεανοῦ καὶ Τηθύος ἐξεγένοντο
πρεσβύταται κοῦραι· πολλαί γε μέν εἰσι καὶ ἄλλαι.
τρὶς γὰρ χίλιαί εἰσι τανύσφυροι Ὠκεανῖναι,
αἵ ῥα πολυσπερέες γαῖαν καὶ βένθεα λίμνης
πάντῃ ὁμῶς ἐφέπουσι, θεάων ἀγλαὰ τέκνα.
τόσσοι δ' αὖθ' ἕτεροι ποταμοὶ καναχηδὰ ῥέοντες,
υἱέες Ὠκεανοῦ, τοὺς γείνατο πότνια Τηθύς·
τῶν ὄνομ' ἀργαλέον πάντων βροτὸν ἀνέρ' ἐνισπεῖν,
οἳ δὲ ἕκαστοι ἴσασιν, οἳ ἂν περιναιετάωσιν.
Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Ἠῶ θ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει
ἀθανάτοις τε θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
γείναθ' ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.
Κρίῳ δ' Εὐρυβίη τέκεν ἐν φιλότητι μιγεῖσα

---

357 Μενεστώ schol. Exeg. 358 εὐρυνόη G Τελεσθώ Ψ Ioannes Galen. 359 Χρυσηίς Hermann, κρησηίς D, κρησσηίς G, κρυσηίς HI schol Exeg., κρυσίη K, κρισίη (prius ι ex υ) L, κρυσίη (η superscr.) E, κρησίη F; Κρισσηίς Naeke 364 τρισχίλιαί (om. γὰρ) εἰσι Ωb, τρισχίλιαι γὰρ ἔασι D, τρεῖς γὰρ χίλιαί εἰσι Ψ; τρὶς γὰρ μύριαί εἰσι schol. Pind. Ol. V 1 τανίσφυροι schol. Pind. codd. pars, τανύσφυραι DΨ ὠκεανῖδες D pars codd. schol. Pind. 369 ἀνέρ' Goettling, ἄνδρα libri ἐνίσπειν HIL 370 ἕκαστα Eustathius in Dionys. Perieg. 636 ἴσασ' D οἳ ἂν περιναιετάωσιν L m² Eustathius, οἷς ἂν περιναιετάωσι D, οἳ ἂν περιναιετάουσι (ου m² in ω mut. L) ΩbΨ, ὅσοι περιναιετάουσι Ωc 371 τε μέγαν] τέκετο schol. Eurip. Troad. 855, quod in v. 371 desinit, τέκε μέγαν codd. scholior. Pind. Isthm. V 1 373 om. schol. Pind. Ol. VII 72 θεοῖσι D, θεοῖς libri cett. 375 Κρίῳ GH, κρείῳ (ει ex ι) I, κριῶ D, κρείῳ ΩbΨ schol. Ioannes Galen. Exeg.

Ἀστραῖόν τε μέγαν Πάλλαντά τε δῖα θεάων
Πέρσην θ', ὃς καὶ πᾶσι μετέπρεπε ἰδμοσύνῃσιν.

Ἀστραίῳ δ' Ἠὼς ἀνέμους τέκε καρτεροθύμους,
ἀργέστην Ζέφυρον Βορέην τ' αἰψηροκέλευθον
καὶ Νότον, ἐν φιλότητι θεὰ θεῷ εὐνηθεῖσα.
τοὺς δὲ μέτ' ἀστέρα τίκτ' Ἠοσφόρον Ἠριγένεια
ἄστρα τε λαμπετόωντα, τά τ' οὐρανὸς ἐστεφάνωται.

Στὺξ δ' ἔτεκ' Ὠκεανοῦ θυγάτηρ Πάλλαντι μιγεῖσα
Ζῆλον καὶ Νίκην καλλίσφυρον ἐν μεγάροισιν·
καὶ Κράτος ἠδὲ Βίην ἀριδείκετα γείνατο τέκνα,
τῶν οὐκ ἔστ' ἀπάνευθε Διὸς δόμος, οὐδέ τις ἕδρη,
οὐδ' ὁδός, ὅππη μὴ κείνοις θεὸς ἡγεμονεύῃ,
ἀλλ' αἰεὶ πὰρ Ζηνὶ βαρυκτύπῳ ἑδριόωνται.
ὣς γὰρ ἐβούλευσεν Στὺξ ἄφθιτος Ὠκεανίνη
ἤματι τῷ, ὅτε πάντας Ὀλύμπιος ἀστεροπητὴς
ἀθανάτους ἐκάλεσσε θεοὺς ἐς μακρὸν Ὄλυμπον,
εἶπε δ', ὃς ἂν μετὰ εἷο θεῶν Τιτῆσι μάχοιτο,
μή τιν' ἀπορραίσειν γεράων, τιμὴν δὲ ἕκαστον
ἑξέμεν, ἣν τὸ πάρος γε μετ' ἀθανάτοισι θεοῖσιν.
τὸν δ' ἔφαθ', ὅς τις ἄτιμος ὑπὸ Κρόνου ἠδ' ἀγέραστος,
τιμῆς καὶ γεράων ἐπιβησέμεν, ἣ θέμις ἐστίν.
ἦλθε δ' ἄρα πρώτη Στὺξ ἄφθιτος Οὔλυμπόνδε
σὺν σφοῖσιν παίδεσσι φίλου διὰ μήδεα πατρός.

---

377 ///πάσησι (καὶ eraso e πᾶσι factum) D, an πάντεσσι ? 379 ἀργέστην Ζέφυρον Acusilaus, Ἀργέστην Ζέφυρον schol. 251, 1 Fl.; Ἀργέστην Ζέφυρόν τε Goettling τ' om. Ψ 380 θεῷ θεὰ D 381 τίκτ' Ἠοσφόρον restitui, τίκτεν ἑωσφόρον ΩbcΨ schol., ἀστραίω τέχ' (χ e κ m[1]) ἑωσφόρος D 383 ἔτεκ' recensio x, ἔτεκεν ΦΨ 384 νείκην DGHΨ πολύσφυρον GH, superscr. καλλίσφυρον I 387 ἡγεμονεύῃ cod. Laur. conv. suppr. 15, ἡγεμονεύει ΩΨ 393 τὸν Scheer, an μιν? δὲ om. K, δ' DGIL, θ' Ωb

τὴν δὲ Ζεὺς τίμησε, περισσὰ δὲ δῶρα ἔδωκεν.
αὐτὴν μὲν γὰρ ἔθηκε θεῶν μέγαν ἔμμεναι ὅρκον,
παῖδας δ' ἤματα πάντα ἕο μεταναιέτας εἶναι.
ὣς δ' αὔτως πάντεσσι διαμπερές, ὥς περ ὑπέστη,
ἐξετέλεσσ'· αὐτὸς δὲ μέγα κρατεῖ ἠδὲ ἀνάσσει.
Φοίβη δ' αὖ Κοίου πολυήρατον ἦλθεν ἐς εὐνήν·
κυσαμένη δὴ ἔπειτα θεὰ θεοῦ ἐν φιλότητι
Λητὼ κυανόπεπλον ἐγείνατο, μείλιχον αἰεί,
μείλιχον ἐξ ἀρχῆς, ἀγανώτατον ἐντὸς Ὀλύμπου, 408
ἤπιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσιν. 407
γείνατο δ' Ἀστερίην εὐώνυμον, ἥν ποτε Πέρσης
ἠγάγετ' ἐς μέγα δῶμα φίλην κεκλῆσθαι ἄκοιτιν.

ἡ δ' ὑποκυσαμένη Ἑκάτην τέκε, τὴν περὶ πάντων
Ζεὺς Κρονίδης τίμησε· πόρεν δέ οἱ ἀγλαὰ δῶρα,
μοῖραν ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.
ἡ δὲ καὶ ἀστερόεντος ἀπ' οὐρανοῦ ἔμμορε τιμῆς
ἀθανάτοις τε θεοῖσι τετιμένη ἐστὶ μάλιστα.
καὶ γὰρ νῦν, ὅτε πού τις ἐπιχθονίων ἀνθρώπων
ἔρδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάσκηται,
κικλήσκει Ἑκάτην· πολλή τέ οἱ ἕσπετο τιμὴ

---

399 δὲ δῶρα ἔδωκεν Aldus; primitus δῶρά Ϝ' (= Ϝοι) scriptum fuisse crediderim, cf. Wien. St. XVI 221 et v. Leeuwen Enchir. dict. ep. 71; δὲ δῶρα δέδωκεν DEHIΨ, δῶρα δ' ἔδωκεν FG; ἔδωκε δὲ δῶρα περισσά Bergk 401 ἕο Brugmann; ἑοῦ μεταναιέτας DG, ἑοῦ μέτα ναιέτας Ψ, γρ. ἑοὺς μεταναιέτας marg. L; ἑοὺς μεταναιέτας ΩbHI 408 ante 407 collocavi 407 ἤπιον] μείλιχον eiecto v. 408 Paley, τίμιον v. 407 sq. e mea sententia inter se transpositis Peppmüller 409 περσεὺς D 411—415 et 450—452 initio et conclusione hymni Hecates abiectis interpolatorem de suo addidisse censuit A. Meyer 414 ἐπ' Goettling 415 θεοῖσι τετιημένη E, θεοῖς τετιμημένη Ωc, θεοῖς τετι///ημένη (μ eras.) D 417 νόμον altero ν superscr. D 418 ἕσπετο Triclinius, ἕσπεται (ἕπεται HI) codd.

ῥεῖα μάλ', ᾧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάς,
καί τέ οἱ ὄλβον ὀπάζει, ἐπεὶ δύναμίς γε πάρεστιν. 420
ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
καὶ τιμὴν ἔλαχον, τούτων ἔχει αἶσαν ἁπάντων.
οὐδέ τί μιν Κρονίδης ἐβιήσατο οὐδέ τ' ἀπηύρα,
ὅσσ' ἔλαχεν Τιτῆσι μετὰ προτέροισι θεοῖσιν,
ἀλλ' ἔχει, ὡς τὸ πρῶτον ἀπ' ἀρχῆς ἔπλετο δασμός, 425
καὶ γέρας ἐν γαίῃ τε καὶ οὐρανῷ ἠδὲ θαλάσσῃ· 427
οὐδ', ὅτι μουνογενής, ἧσσον θεὰ ἔμμορε τιμῆς, 426
ἀλλ' ἔτι καὶ πολὺ μᾶλλον, ἐπεὶ Ζεὺς τίεται αὐτήν. 428
ᾧ δ' ἐθέλει, μεγάλως παραγίγνεται ἠδ' ὀνίνησιν·
ἔν τε δίκῃ βασιλεῦσι παρ' αἰδοίοισι καθίζει, 434
ἔν τ' ἀγορῇ λαοῖσι μεταπρέπει, ὅν κ' ἐθέλῃσιν· 430
ἠδ' ὁπότ' ἐς πόλεμον φθεισήνορα θωρήσσωνται
ἀνέρες, ἔνθα θεὰ παραγίγνεται, οἷς κ' ἐθέλῃσι
νίκην προφρονέως ὀπάσαι καὶ κῦδος ὀρέξαι. 433
ἐσθλὴ δ' αὖθ', ὁπότ' ἄνδρες ἀεθλεύωσιν ἀγῶνι, 435
ἔνθα θεὰ καὶ τοῖς παραγίγνεται ἠδ' ὀνίνησιν·
νικήσας δὲ βίῃ καὶ κάρτεϊ καλὸν ἄεθλον
ῥεῖα φέρει χαίρων τε, τοκεῦσι δὲ κῦδος ὀπάζει.
ἐσθλὴ δ' ἱππήεσσι παρεστάμεν, οἷς κ' ἐθέλῃσιν.

---

419 οὗ Ψ, ᾧ ex οὗ corr. I ὑπεδέξατο, in marg. γρ. ὑποδέξεται E, ὑποδέξατο I 427 post 425 transposuit Goettling; ab interpolatore (versuum 411—415 auctore) importatum esse censuit A. Meyer 429 ὡς δ' Anecd. Par. IV 11, 32 Cr. ἐθέλῃ HI ἠδ'] καὶ Et. gen. v. μεγάλως 434 post 429 collocavit Schoemann 430 ᾧ κ' K, ὅν in ras. (fuit ᾧ) L 431 sq. om. HΨ, m. alia in marg. HL 431 ἣν (ἣ/// E) δέ ποτ' Ωb φθησήνορα HI, φθισήνορα codd. cett. θωρήσσονται ΩcL, θωρήσσοιντο Ωb 433 προφρονέους D 435 δ' αὖ DΩbGK, θ' m. alia add. L ἀεθλεύωσιν ἀγῶνι Koechly, ἀγῶνι ἀεθλεύωσιν DΩc, ἀγῶνι ἀθλεύωσιν (superscr. ε m. al. L) Ψ, ἐν ἀγῶνι ἀθλεύωσι (superscr. ου E) Ωb 437 τε Ψ 438 τοκεῦσί τε FGH

καὶ τοῖς, οἳ γλαυκὴν δυσπέμφελον ἐργάζονται,
εὔχονται δ' Ἑκάτῃ καὶ ἐρικτύπῳ Ἐννοσιγαίῳ,
ῥηιδίως ἄγρην κυδρὴ θεὸς ὤπασε πολλήν,
ῥεῖα δ' ἀφείλετο φαινομένην, ἐθέλουσά γε θυμῷ.
ἐσθλὴ δ' ἐν σταθμοῖσι σὺν Ἑρμῇ ληίδ' ἀέξειν·
βουκολίας δ' ἀγέλας τε καὶ αἰπόλια πλατέ' αἰγῶν
ποίμνας τ' εἰροπόκων ὀίων, θυμῷ γ' ἐθέλουσα,
ἐξ ὀλίγων βριάει καὶ ἐκ πολλῶν μείονα θῆκεν.
οὕτω τοι καὶ μουνογενὴς ἐκ μητρὸς ἐοῦσα
πᾶσι μετ' ἀθανάτοισι τετίμηται γεράεσσιν.
θῆκε δέ μιν Κρονίδης κουροτρόφον, οἳ μετ' ἐκείνην
ὀφθαλμοῖσι ἴδοντο φάος πολυδερκέος Ἠοῦς.
οὕτως ἐξ ἀρχῆς κουροτρόφος, αἳ δέ τε τιμαί.

Ῥείη δὲ δμηθεῖσα Κρόνῳ τέκε φαίδιμα τέκνα,
Ἱστίην Δήμητρα καὶ Ἥρην χρυσοπέδιλον
ἴφθιμόν τ' Ἀίδην, ὃς ὑπὸ χθονὶ δώματα ναίει
νηλεὲς ἦτορ ἔχων, καὶ ἐρίκτυπον Ἐννοσίγαιον
Ζῆνά τε μητιόεντα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
τοῦ καὶ ὑπὸ βροντῆς πελεμίζεται εὐρεῖα χθών.
καὶ τοὺς μὲν κατέπινε μέγας Κρόνος, ὥς τις ἕκαστος
νηδύος ἐξ ἱερῆς μητρὸς πρὸς γούναθ' ἵκοιτο,
τὰ φρονέων, ἵνα μή τις ἀγαυῶν Οὐρανιώνων

---

442 ῥηιδίως F, δ' addunt codd. cett. 443 ἀφείλατο Ψ 445 δ' dedi, τ' ΩΨ, delevit Peppmüller 447 καὶ ἐκ libri, cf. Fr. 117, 3, κἀκ Winterton, κὴκ Menrad, πολλῶν δ' ἐκ Voss 451 πολυκέρδεον Ψ (γρ. πολυδερκέος marg. L), πολλυκέρδιον C 452 αἴδε τε Ωb, αίδεται C 453 ῥειη δὲ δμηθήσα C, ῥείη δ' ὑποδμηθεῖσα (ποδ del., αυ superscr. I) ΩbcΨ, ῥεῖα δ' ὑποδμηθεῖσα D 454 ἱστίην, in marg. ε<ι?>στιὴν L, εἱστίην D, ἑστίην F Ἶριν Eustathius Hom. 1564, 33 χρυσοστέφανον C 458 ἀπὸ Ioannes Galen. 459 κρόνος μέγας ΩbΨ ώστις C (ὥς τις? Wolf), ὅστις codd. cett., ὅς τε Flach, ὥς τε Fick

ἄλλος ἐν ἀθανάτοισιν ἔχοι βασιληίδα τιμήν.
πεύθετο γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἀστερόεντος,
οὕνεκά οἱ πέπρωτο ἑῷ ὑπὸ παιδὶ δαμῆναι
καὶ κρατερῷ περ ἐόντι —Διὸς μεγάλου διὰ βουλάς·—
τῷ ὅ γ' ἄρ' οὐκ ἀλαὸς σκοπιὴν ἔχεν, ἀλλὰ δοκεύων
παῖδας ἑοὺς κατέπινε· Ῥέην δ' ἔχε πένθος ἄλαστον.
ἀλλ' ὅτε δὴ Δί' ἔμελλε θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
τέξεσθαι, τότ' ἔπειτα φίλους λιτάνευε τοκῆας
τοὺς αὐτῆς, Γαῖάν τε καὶ Οὐρανὸν ἀστερόεντα,
μῆτιν συμφράσσασθαι, ὅπως λελάθοιτο τεκοῦσα
παῖδα φίλον, τείσαιτο δ' ἐρινῦς πατρὸς ἑοῖο
παίδων θ', οὓς κατέπινε μέγας Κρόνος ἀγκυλομήτης.
οἳ δὲ θυγατρὶ φίλῃ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
καί οἱ πεφραδέτην, ὅσα περ πέπρωτο γενέσθαι
ἀμφὶ Κρόνῳ βασιλῆι καὶ υἱέι καρτεροθύμῳ.
πέμψαν δ' ἐς Λύκτον, Κρήτης ἐς πίονα δῆμον,
ὁππότ' ἄρ' ὁπλότατον παίδων τέξεσθαι ἔμελλε,
Ζῆνα μέγαν· τὸν μέν οἱ ἐδέξατο Γαῖα πελώρη
Κρήτῃ ἐν εὐρείῃ τραφέμεν ἀτιταλλέμεναί τε.
ἔνθα μιν ἷκτο φέρουσα θοὴν διὰ νύκτα μέλαιναν
πρώτην ἐς Λύκτον· κρύψεν δέ ἑ χερσὶ λαβοῦσα

---

462 *ἔχει* CG, *ἔχειοι* H, *ἔχει οἱ* I, *ἔχῃ* DF 465 *πατρὸς* Ωc (superscr. in E) schol. 466 *ὅ γ' ἄρ'* Peppmüller, *ὅ γε* libri *ἀλαὸς σκοπιὴν* ex Aristarchi lectione Hom. *K* 515 *N* 10 *Ξ* 135 dedi (*ἀλαὸν σκοπιὴν* Zenodotus), *ἀλαοσκοπιὴν* (*ἀλλὰ σκοπιὴν* C) libri *ἔσχεν* Ωb 468 *δὴ δὴ* C, *δὴ* (om. *Δί'*) G, *δί'* superscr. m. rec. *δὴ* I, *δί'* (om. *δὴ*) H 469 *λιτάνευσε* CHI 470 *ϝοὺς*? v. Leeuwen, an *εἷ'*? 471 *μῆτιν οἱ φράσασθαι* F, *μή τιν*[α] *φράσασθαι* E 473 *θ'* Schoemann, om. libri *ἀγκυλομήτις* E, *ἀγκυλόμητις* F 477 *Λύκτον, γρ. δί* (= *δίκτον*) in marg. E, *λύκτρον* C 478 *τέξεσθαι ἔμελλε* Kinkel, *ἤμελλε τεκέσθαι* libri, *ἦ μέλλε τεκέσθαι* Herwerden 480 *τραφέμεν α* in *ε* m[1] mut. D, *τρεφέμεν* (*τρέφεν* K) codd. cett. 481 *μιν* Hermann (cf. schol.), *μὲν* libri 482 *λύκτρον* C, *Δίκτην* Schoemann *χειρὶ* L

ἄντρῳ ἐν ἠλιβάτῳ, ζαθέης ὑπὸ κεύθεσι γαίης,
Αἰγαίῳ ἐν ὄρει πεπυκασμένῳ ὑλήεντι.
τῷ δὲ σπαργανίσασα μέγαν λίθον ἐγγυάλιξεν
Οὐρανίδῃ μέγ' ἄνακτι, θεῶν προτέρῳ βασιλῆι.
τὸν τόθ' ἑλὼν χείρεσσιν ἑὴν ἐσκάτθετο νηδὺν
σχέτλιος· οὐδ' ἐνόησε μετὰ φρεσίν, ὥς οἱ ὀπίσσω
ἀντὶ λίθου ἑὸς υἱὸς ἀνίκητος καὶ ἀκηδὴς
λείπεθ', ὅ μιν τάχ' ἔμελλε βίῃ καὶ χερσὶ δαμάσσας
τιμῆς ἐξελάειν, ὃ δ' ἐν ἀθανάτοισι ἀνάξειν.

καρπαλίμως δ' ἄρ' ἔπειτα μένος καὶ φαίδιμα γυῖα
ηὔξετο τοῖο ἄνακτος· ἐπιπλομένων δ' ἐνιαυτῶν
Γαίης ἐννεσίῃσι πολυφραδέεσσι δολωθεὶς
ὃν γόνον ἂψ ἀνέηκε μέγας Κρόνος ἀγκυλομήτης
[νικηθεὶς τέχνῃσι βίηφί τε παιδὸς ἑοῖο.]
πρῶτον δ' ἐξείμεσσε λίθον, πύματον καταπίνων·
τὸν μὲν Ζεὺς στήριξε κατὰ χθονὸς εὐρυοδείης
Πυθοῖ ἐν ἠγαθέῃ γυάλοις ὕπο Παρνησοῖο
σῆμ' ἔμεν ἐξοπίσω, θαῦμα θνητοῖσι βροτοῖσιν.

[λῦσε δὲ πατροκασιγνήτους ὀλοῶν ὑπὸ δεσμῶν
Οὐρανίδας, οὓς δῆσε πατὴρ ἀεσιφροσύνῃσιν·
οἵ οἱ ἀπεμνήσαντο χάριν εὐεργεσιάων,

---

484 *αἰγείῳ* Salmasius (*Αἰγείῳ* Wilamowitz) 487 *εεῖν* C *ἐσκάτθετο* Ωa, *ἐς κάτθεο* (*τ* m. rec. superscr. L) Ψ, *ἐγκάτθετο* (*ἐγκατέθετο* HI) Ωbc 489 *λίθοι'* v. Leeuwen 491 *ἐξελάειν* D, *ἐξελάαν* Ωbc (superscr. *σαι* m. al. HI) Ψ, *εξαλάαν* C *ἰδ' ἐν*? idem suasit Peppmüller *ἀέξειν* ΩbK, in *ἀνάξειν* mut. L 493 *ἐπιπλομένου δ' ἐνιαυτοῦ* CΩb schol. 494 *χολωθεὶς* Ψ 495 *ἀγκυλόμητις* F 496 reiecit Heyne 497 *ἐξέμεσεν λίθον, ὃν πύματον κατέπινεν* Peppmüller *ἐξείμεσσε* (*ἐξεϝέμεσσε*) Fick, *ἐξήμεσσε* Hermann, *ἐξήμεσε* cod. Laur. LXXXXI sup. 10, superscr. *η* Casanat. 356; *ἐξήμησε* ΩΨ *καταπιών* Goettling et Fick 499 *παρνησσοῖο* ΩbG Apoll. Lex. v. *γύαλον* 501—506 resecuit Wolf 501 *ὑπὸ* Ωbc, *ἀπὸ* DΨ

δῶκαν δὲ βροντὴν ἠδ' αἰθαλόεντα κεραυνὸν
καὶ στεροπήν· τὸ πρὶν δὲ πελώρη Γαῖα κεκεύθει·
τοῖς πίσυνος θνητοῖσι καὶ ἀθανάτοισι ἀνάσσει.]

Κούρην δ' Ἰαπετὸς καλλίσφυρον Ὠκεανίνην
ἠγάγετο Κλυμένην καὶ ὁμὸν λέχος εἰσανέβαινεν.
ἡ δέ οἱ Ἄτλαντα κρατερόφρονα γείνατο παῖδα·
τίκτε δ' ὑπερκύδαντα Μενοίτιον ἠδὲ Προμηθέα
ποικίλον αἰολόμητιν, ἁμαρτίνοόν τ' Ἐπιμηθέα,
ὃς κακὸν ἐξ ἀρχῆς γένετ' ἀνδράσιν ἀλφηστῇσιν·
πρῶτος γάρ ῥα Διὸς πλαστὴν ὑπέδεκτο γυναῖκα
παρθένον. ὑβριστὴν δὲ Μενοίτιον εὐρύοπα Ζεὺς
εἰς Ἔρεβος κατέπεμψε βαλὼν ψολόεντι κεραυνῷ
εἵνεκ' ἀτασθαλίης τε καὶ ἠνορέης ὑπερόπλου.
Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης
πείρασιν ἐν γαίης, πρόπαρ Ἑσπερίδων λιγυφώνων,
ἑστηὼς κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν·
ταύτην γάρ οἱ μοῖραν ἐδάσσατο μητίετα Ζεύς.
δῆσε δ' ἀλυκτοπέδῃσι Προμηθέα ποικιλόβουλον
δεσμοῖς ἀργαλέοισι μέσον διὰ κίον' ἐλάσσας·
καί οἱ ἐπ' αἰετὸν ὦρσε τανύπτερον· αὐτὰρ ὅ γ' ἧπαρ
ἤσθιεν ἀθάνατον, τὸ δ' ἀέξετο ἶσον ἁπάντη
νυκτός, ὅσον πρόπαν ἦμαρ ἔδοι τανυσίπτερος ὄρνις.
τὸν μὲν ἄρ' Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
Ἡρακλέης ἔκτεινε, κακὴν δ' ἀπὸ νοῦσον ἄλαλκεν
Ἰαπετιονίδῃ καὶ ἐλύσατο δυσφροσυνάων
οὐκ ἀέκητι Ζηνὸς Ὀλυμπίου ὑψιμέδοντος,

---

521 δήσας Herodianus περὶ διχρ. II 7, 24 L. Choeroboscus schol. Theod. I 123, 12 H.; unde aliquid ante 521 intercidisse censuit Muetzell al.; Ζεὺς | δήσας — ἀργαλέοισι, μέσον κτλ. Hermann, δήσας .... ἔλασσεν Ludwich Herodianum legisse arbitrati sunt 525 ἔδει ΩbΨ 526—534 removebat Francken

ὄφρ' Ἡρακλῆος Θηβαγενέος κλέος εἴη
πλεῖον ἔτ' ἢ τὸ πάροιθεν ἐπὶ χθόνα πουλυβότειραν.
ταῦτά γ' ἄρ' ἀζόμενος τίμα ἀριδείκετον υἱόν·
καί περ χωόμενος παύθη χόλου, ὃν πρὶν ἔχεσκεν,
οὕνεκ' ἐρίζετο βουλὰς ὑπερμενέι Κρονίωνι.
καὶ γὰρ ὅτ' ἐκρίνοντο θεοὶ θνητοί τ' ἄνθρωποι
Μηκώνῃ, τότ' ἔπειτα μέγαν βοῦν πρόφρονι θυμῷ
δασσάμενος προέθηκε, Διὸς νόον ἐξαπαφίσκων.
τοῖς μὲν γὰρ σάρκας τε καὶ ἔγκατα πίονα δημῷ
ἐν ῥινῷ κατέθηκε καλύψας γαστρὶ βοείῃ,
τῷ δ' αὖτ' ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ
εὐθετίσας κατέθηκε καλύψας ἀργέτι δημῷ.
δὴ τότε μιν προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
'Ιαπετιονίδη, πάντων ἀριδείκετ' ἀνάκτων,
ὦ πέπον, ὡς ἑτεροζήλως διεδάσσαο μοίρας.
ὣς φάτο κερτομέων Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
τὸν δ' αὖτε προσέειπε Προμηθεὺς ἀγκυλομήτης
ἦκ' ἐπιμειδήσας, δολίης δ' οὐ λήθετο τέχνης·
Ζεῦ κύδιστε μέγιστε θεῶν αἰειγενετάων,
τῶν δ' ἕλε', ὁπποτέρην σε ἐνὶ φρεσὶ θυμὸς ἀνώγει.
φῆ ῥα δολοφρονέων· Ζεὺς δ' ἄφθιτα μήδεα εἰδὼς
γνῶ ῥ' οὐδ' ἠγνοίησε δόλον· κακὰ δ' ὄσσετο θυμῷ
θνητοῖς ἀνθρώποισι, τὰ καὶ τελέεσθαι ἔμελλεν.
χερσὶ δ' ὅ γ' ἀμφοτέρῃσιν ἀνείλετο λευκὸν ἄλειφαρ.

---

530 Θηβαιγενέος Valckenaer 532 ταῦτά γ' ἄρ' scripsi, ταῦτ' ἄρ' DΩbGΨ, ταῦτ' ἄρα HI, ταῦτ' ἄρ' ὅ γ' Hermann 533 χόλον Ωc 537 προέθηκε scripsi, προύθηκε libri *Διὸς* in ras. L, ζηνὸς ΩK 538 τοῖς Schoemann, τῷ codd., τῇ Guyet, τοῖ Menrad πίονα Schoemann, πίονι codd. 540 τῇ Guyet, τοῖ Menrad 543 removet Lisco περιδείκετ' Ψ 546 ἀγκυλόμητις F 548 Ζεὺς I 549 δ' om. L ἕλε' Nauck, ἕλευ codd. γε ἐνὶ D 550—552 reiecerunt Gruppe alii 552 ἔμελλον Aristarchus? (cf. schol. Hom. *B* 36) 553 ἄλειφα H m[1] (ρ m. al. add.) I Et. gen. s. v.

χώσατο δὲ φρένας ἀμφί, χόλος δέ μιν ἵκετο θυμόν,
ὡς ἴδεν ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ.
ἐκ τοῦ δ' ἀθανάτοισιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
καίουσ' ὀστέα λευκὰ θυηέντων ἐπὶ βωμῶν.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
  Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
ὦ πέπον, οὐκ ἄρα πω δολίης ἐπιλήθεο τέχνης.
  ὣς φάτο χωόμενος Ζεὺς ἄφθιτα μήδεα εἰδώς·
ἐκ τούτου δὴ ἔπειτα δόλου μεμνημένος αἰεὶ
οὐκ ἐδίδου μελίῃσι πυρὸς μένος ἀκαμάτοιο
θνητοῖς ἀνθρώποις, οἳ ἐπὶ χθονὶ ναιετάουσιν.
ἀλλά μιν ἐξαπάτησεν ἐὺς πάις Ἰαπετοῖο
κλέψας ἀκαμάτοιο πυρὸς τηλέσκοπον αὐγὴν
ἐν κοΐλῳ νάρθηκι· δάκεν δέ ἑ νειόθι θυμόν,
Ζῆν' ὑψιβρεμέτην, ἐχόλωσε δέ μιν φίλον ἦτορ,
ὡς ἴδ' ἐν ἀνθρώποισι πυρὸς τηλέσκοπον αὐγήν.
αὐτίκα δ' ἀντὶ πυρὸς τεῦξεν κακὸν ἀνθρώποισιν·
γαίης γὰρ σύμπλασσε περικλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς.
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη
ἀργυφέῃ ἐσθῆτι· κατὰ κρῆθεν δὲ καλύπτρην
δαιδαλέην χείρεσσι κατέσχεθε, θαῦμα ἰδέσθαι·

---

554 φρένας, ἀμφὶ δέ μιν (δέ μιν m² superscr. E) DΩb θυμῷ DΩbΨ 555 βοὸς δολίῃ ἐνὶ τέχνῃ HI, θυηέντων ἐπὶ βωμῶν G, quod etiam D exhibet posthac deletum, m¹ in marg. addito βοὸς δολίῃ ἐπὶ τέχνῃ 559 removet Lisco 560 ἐπελήθεο ΩbHI 563 μελίῃσι DEΩc, cf. quae dixi ZfdöG. 1898 p. 26; μελίοισι FΨ, μελίηφι Bergk, qui antea Μελίῃσι e schol. coniecit; μελέοισι H. Stephanus 567 δέ ἑ νειόθι] ἑ ex οἱ rest. D, δεοινειόθι G, δέ οἱ νειόθε (νειόθε I) HI, δ' ἄρα νειόθι ΩbΨ 569 ἴδ' ἐν D, ἴδ' Ωb, ἴδεν ΩcΨ τηλεσκόπον Ψ 570—612 interpolatos esse aliquot versibus post 569 omissis censet Lisco 573—584 proscripsit Seleucus 575 κατέσχε FHI

[ἀμφὶ δέ οἱ στεφάνους, νεοθηλέος ἄνθεα ποίης,
ἱμερτοὺς περίθηκε καρήατι Παλλὰς Ἀθήνη.]
ἀμφὶ δέ οἱ στεφάνην χρυσέην κεφαλῆφιν ἔθηκε,
τὴν αὐτὸς ποίησε περικλυτὸς Ἀμφιγυήεις
ἀσκήσας παλάμησι, χαριζόμενος Διὶ πατρί.
τῇ δ' ἐνὶ δαίδαλα πολλὰ τετεύχατο, θαῦμα ἰδέσθαι,
κνώδαλ', ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα·
τῶν ὅ γε πόλλ' ἐνέθηκε, — χάρις δ' ἀπελάμπετο πολλή, —
θαυμάσια, ζῴοισι ἐοικότα φωνήεσσιν.
αὐτὰρ ἐπεὶ δὴ τεῦξε καλὸν κακὸν ἀντ' ἀγαθοῖο,
ἐξάγαγ', ἔνθα περ ἄλλοι ἔσαν θεοὶ ἠδ' ἄνθρωποι,
κόσμῳ ἀγαλλομένην γλαυκώπιδος ὀβριμοπάτρης.
θαῦμα δ' ἔχ' ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους,
ὡς εἶδον δόλον αἰπύν, ἀμήχανον ἀνθρώποισιν.
[ἐκ τῆς γὰρ γένος ἐστὶ γυναικῶν θηλυτεράων,]
τῆς γὰρ ὀλώιόν ἐστι γένος καὶ φῦλα γυναικῶν,
πῆμα μέγ' αἳ θνητοῖσι μετ' ἀνδράσι ναιετάουσιν
οὐλομένης πενίης οὐ σύμφοροι, ἀλλὰ κόροιο.
ὡς δ' ὁπότ' ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι
κηφῆνας βόσκωσι, κακῶν ξυνήονας ἔργων·
αἳ μέν τε πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἠμάτιαι σπεύδουσι τιθεῖσί τε κηρία λευκά,

---

576 sq. uncis saepsit Wolf 576 νεοθηλέος m[1] (alterum ο postea in α mut.) D, νεοθηλέας ΩbGHΨ, νεοθηλήας superscr. ει I ἄνθεσι m. rec. superscr. α H, ἄνθεσι libri cett. 577 περίθηκε Hermann, παρέθηκε libri 585 ἐπεὶ τεῦξεν καλὸν Hermann 590 sqq. cf. ad Op. 90 sqq. 590 sq. variae recensionis esse putavit Hermann, 590 eiecit Goettling, 591 Schoemann 592 πῆμα μέγ' αἳ Hermann (qui postea αἳ θνητοῖς μέγα πῆμα coniecit), πῆμα μέγα libri Stobaeus LXXIII 47 M. σὺν ἀνδράσι Stobaeus 593 ἀλλ' ἀκόρεστον superscr. οι m. rec. marg. H, ἀλλ' ἀκόρεστοι Ωb, γρ. ἀλλὰ κόροιο m[2] marg. E 594 ὁπότε Ωb, ὅταν ἐν schol. Theocrit. I 107 595 βόσκωσι Ωb, βόσκουσι DΩcΨ ξυνήνορας (γρ. ξυνήνερας in marg. E) Ωb 597 ἠμάτιον Ωb

οἱ δ᾽ ἔντοσθε μένοντες ἐπηρεφέας κατὰ σίμβλους
ἀλλότριον κάματον σφετέρην ἐς γαστέρ᾽ ἀμῶνται·
ὣς δ᾽ αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας
Ζεὺς ὑψιβρεμέτης θῆκεν, ξυνήονας ἔργων
ἀργαλέων· ἕτερον δὲ πόρεν κακὸν ἀντ᾽ ἀγαθοῖο·
ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ᾽ ἐπὶ γῆρας ἵκοιτο
χήτεϊ γηροκόμοιο· ὅ γ᾽ οὐ βιότου ἐπιδευὴς
ζώει, ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται
χηρωσταί· ᾧ δ᾽ αὖτε γάμου μετὰ μοῖρα γένηται,
κεδνὴν δ᾽ ἔσχεν ἄκοιτιν ἀρηρυῖαν πραπίδεσσι,
τῷ δέ τ᾽ ἀπ᾽ αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει
ἐμμενές· ὃς δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης,
ζώει ἐνὶ στήθεσσιν ἔχων ἀλίαστον ἀνίην
θυμῷ καὶ κραδίῃ, καὶ ἀνήκεστον κακόν ἐστιν.
ὣς οὐκ ἔστι Διὸς κλέψαι νόον οὐδὲ παρελθεῖν.
οὐδὲ γὰρ Ἰαπετιονίδης ἀκάκητα Προμηθεὺς
τοῖό γ᾽ ὑπεξήλυξε βαρὺν χόλον, ἀλλ᾽ ὑπ᾽ ἀνάγκης
καὶ πολύιδριν ἐόντα μέγας κατὰ δεσμὸς ἐρύκει.

Οβριάρεῳ δ᾽ ὡς πρῶτα πατὴρ ὠδύσσατο θυμῷ

---

600 *ὣς δ᾽ αὔτως* Stobaeus, ex *ὡσαύτως* rest. D, *ὡς δ᾽ αὔτως* *Ψ*, *ὡσαύτως* *Ω*bc *γυναῖκα* cod. Casanat. 356 Laur. LXXXXI sup. 10 601 *ξυνήονας* m. rec. superscr. *ρασ* H, addito *γρ. ξυνήνορας* E, *ξυνήορας* F, *ξυνήνορα* cod. Casanat. 356 Laur. LXXXXI sup. 10 602 *λευγαλέων* Stobaeus *δ᾽ ἔπορεν* DG, *δ᾽ ἔπορε* H 603 *κε μέγα* superscr. *γάμον* E, *καὶ γάμον* Stobaei codd. 604 *εἰς* Stobaeus *ἵκοιτο* Stobaeus (*δὲ ἀποδοτικόν* est), *ἵκηται* *ΩΨ* 605 *χήτεϊ* Hermann, *χήτει* libri *βιότου δ᾽* D*Ω*c*Ψ*, *δ᾽* expulit Aldus, *τ᾽* F, *βιότοι᾽*? Peppmüller 606 *ζώῃ* G Stobaeus *διὰ ζωὴν* Stobaeus 608 *ἔσχετ᾽* Stobaeus 609 *δι᾽ αἰῶνος* Schoemann 610 *ἐμμενές* Wopkens, *ἔμμεναι* libri 612 *ἔσται* recensio x 616 *ἐρύκοι* D 617—719 a Titanomachiae compositore illatos esse censuit A. Meyer 617 *Ὀβριάρεῳ* L. Dindorf, *ὀβριάρεω*, ut videtur m[1] D, *ὀβριάρεω* K,

Κόττῳ τ' ἠδὲ Γύῃ, δῆσεν κρατερῷ ἐνὶ δεσμῷ
ἠνορέην ὑπέροπλον ἀγώμενος ἠδὲ καὶ εἶδος
καὶ μέγεθος· κατένασσε δ' ὑπὸ χθονὸς εὐρυοδείης.
ἔνθ' οἵ γ' ἄλγε' ἔχοντες ὑπὸ χθονὶ ναιετάοντες
ἥατ' ἐπ' ἐσχατιῇ, μεγάλης ἐν πείρασι γαίης,
δηθὰ μάλ' ἀχνύμενοι κραδίῃ μέγα πένθος ἔχοντες.
ἀλλά σφεας Κρονίδης τε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
οὓς τέκεν ἠύκομος Ῥείη Κρόνου ἐν φιλότητι,
Γαίης φραδμοσύνῃσιν ἀνήγαγον ἐς φάος αὖτις·
αὐτὴ γάρ σφιν ἅπαντα διηνεκέως κατέλεξε
σὺν κείνοις νίκην τε καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.
δηρὸν γὰρ μάρναντο πόνον θυμαλγέ' ἔχοντες
ἀντίον ἀλλήλοισι διὰ κρατερὰς ὑσμίνας 631
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο· 630
οἱ μὲν ἀφ' ὑψηλῆς Ὄθρυος Τιτῆνες ἀγαυοί,
οἱ δ' ἄρ' ἀπ' Οὐλύμποιο θεοί, δωτῆρες ἐάων,
οὓς τέκεν ἠύκομος Ῥείη Κρόνῳ εὐνηθεῖσα.
οἵ ῥα τότ' ἀλλήλοισι χόλον θυμαλγέ' ἔχοντες
συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς·
οὐδέ τις ἦν ἔριδος χαλεπῆς λύσις οὐδὲ τελευτὴ
οὐδετέροις, ἶσον δὲ τέλος τέτατο πτολέμοιο.
ἀλλ' ὅτε δὴ κείνοισι παρέσχεθον ἄρμενα πάντα,

τῷ (in ras. m. alia) *βριάρεω* L, *βριάρεω* Ωbc, *γρ. ὀμβριάρεω* (postea del.) marg. E, *ὃν βριάρεω* schol. Hom. Townl. *A* 403   618 *γύῃ* (*γ* m. alia add.) L, *γύγῃ* Ωb, *ϛύγη* superscr. *γύγῃ* H   621 *ἐπὶ* ex *ὑπὸ* factum D, *ἐπὶ* Ψ   622 *ἥατ* Nauck, *εἵατ'* Ωb et e corr. L, *εἵατο* om. *ἐπ'* K, *εἵαται* om. *ἐπ'* DG, *ἕζεται* (*εἵατο* m. al. marg.) om. *ἐπ'* H   628 *κείνοις* Triclinius, *κείνοισι* codd.   *ἀρεῖσθαι* Stahl   631. 630 hoc ordine R, cf. 646—648; inverso (630. 631) ΩΨ   632 *ὄθρυος* e corr. D, *ὀθρύος* libri cett.   635 *χόλον* recensio x, *μάχην* R (*μα*>ΧΗΝ) ΩΨ, *πόνον* e v. 629 Schoemann   636 CYNNEXEΩ<ς R, *συννεχέως* L, *συνεχέες* E   638 *πολέμοιο* Ωbc, *τ* m. rec. add. F   639 *παρέσχεθον* (*θεοί*) Goettling, *παρέσχεθεν* codd.   *ἅρμενα*

νέκταρ τ' ἀμβροσίην τε, τά περ θεοὶ αὐτοὶ ἔδουσι,
πάντων ἐν στήθεσσιν ἀέξετο θυμὸς ἀγήνωρ.
[ὡς νέκταρ τ' ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινήν,]
δὴ τότε τοῖς μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
κέκλυτέ μευ, Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισι
νίκης καὶ κράτεος πέρι μαρνάμεθ' ἤματα πάντα
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐκγενόμεσθα.
ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
φαίνετε Τιτήνεσσιν ἐναντίοι ἐν δαῒ λυγρῇ
μνησάμενοι φιλότητος ἐνηέος, ὅσσα παθόντες
ἐς φάος ἂψ ἀφίκεσθε δυσηλεγέος ὑπὸ δεσμοῦ
ἡμετέρας διὰ βουλὰς ὑπὸ ζόφου ἠερόεντος.
ὣς φάτο· τὸν δ' ἐξαῦτις ἀμείβετο Κόττος ἀμύμων·
δαιμόνι', οὐκ ἀδάητα πιφαύσκεαι· ἀλλὰ καὶ αὐτοὶ
ἴδμεν, ὅ τοι περὶ μὲν πραπίδες, περὶ δ' ἐστὶ νόημα,
ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο.
σῇσι δ' ἐπιφροσύνῃσιν ὑπὸ ζόφου ἠερόεντος
ἄψορρον δεῦρ' αὖτις ἀμειλίκτων ὑπὸ δεσμῶν
ἠλύθομεν, Κρόνου υἱὲ ἄναξ, ἀνάελπτα παθόντες.
τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
ῥυσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηιοτῆτι
μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας.
ὣς φάτ'· ἐπήνεσσαν δὲ θεοί, δωτῆρες ἐάων,

Ψ, ἅρμετα D, superscr. γρ. ἅρμενα E, ἅρματα G
640 τ' om. Ωb 642 seclusit Guyet τ' om. GΨ 648 ἐκγενόμεσθα Ωb, superscr. γρ. ἐξεγένοντο E, ex ἐξεγένοντο rest. D, ἐξεγένοντο ΩcΨ 650 ἐναντίοι recensio x, ἐναντίον ΩΨ 656 ὅ τοι Hermann, ὅτι codd. (ὅτι) . . πραπίδας, περὶ δ' ἐσσὶ νόημα Wolf 659 sq. hoc ordine RΩΨ 659 ἄψορρον δεῦρ' αὖτις Stadtmüller, ἄψορρον δ' ἐξαῦτις Ω, . . . Δ'ЄΞΑΥΤΙϹ R, ἄψορον ἐξαῦτις Ψ ἀπὸ Ψ 664 ἐπήνησαν DHL, ЄΠ⟨η⟩Ν⟨?⟩ϹΑΝ R

μῦθον ἀκούσαντες· πολέμου δ' ἐλιλαίετο θυμὸς
μᾶλλον ἔτ' ἢ τὸ πάροιθε· μάχην δ' ἀμέγαρτον ἔγειραν
πάντες, θήλειαί τε καὶ ἄρσενες, ἤματι κείνῳ,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
οὕς τε Ζεὺς Ἐρέβεσφιν ὑπὸ χθονὸς ἧκε φόωσδε
δεινοί τε κρατεροί τε, βίην ὑπέροπλον ἔχοντες.
τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀίσσοντο
πᾶσιν ὁμῶς, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
οἳ τότε Τιτήνεσσι κατέσταθεν ἐν δαῒ λυγρῇ
πέτρας ἠλιβάτους στιβαρῇς ἐν χερσὶν ἔχοντες.
Τιτῆνες δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας
προφρονέως, χειρῶν τε βίης θ' ἅμα ἔργον ἔφαινον
ἀμφότεροι· δεινὸν δὲ περίαχε πόντος ἀπείρων,
γῆ δὲ μέγ' ἐσμαράγησεν, ἐπέστενε δ' οὐρανὸς εὐρὺς
σειόμενος, πεδόθεν δὲ τινάσσετο μακρὸς Ὄλυμπος
ῥιπῇ ὕπ ἀθανάτων, ἔνοσις δ' ἵκανε βαρεῖα
Τάρταρον ἠερόεντα, ποδῶν τ' αἰπεῖα ἰωὴ
ἀσπέτου ἰωχμοῖο βολάων τε κρατεράων·
ὣς ἄρ' ἐπ' ἀλλήλοις ἵεσαν βέλεα στονόεντα.
φωνὴ δ' ἀμφοτέρων ἵκετ' οὐρανὸν ἀστερόεντα
κεκλομένων· οἳ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.

οὐδ' ἄρ' ἔτι Ζεὺς ἴσχεν ἑὸν μένος, ἀλλά νυ τοῦ γε

---

669 οὕς κεν (om. Ζεὺς) Ωb Ἐρέβεσφιν Ωc, ε>ΡЄΒЄΥСΦΙ R, ἐρέβευσφιν DΩbΨ 675 στιβαρῇς ed. Basil., στιβαραῖς Ωb, στιβαρὰς DΩcΨ 678 περ ἴαχε L, περίαχον (ον m^2 in ε mut.) E, περ ἤχει superscr. ἴαχε D, περίσχεθε σ m^1 in α mut., γρ. περίαχε superscr. H 679 γαῖα δ' ἐπ' Fick, cf. Quint. Smyrn. II 546 680 δ' ἐτινάσσετο DΩb 682 ποδῶν τ' αἰπεῖα Hermann, ποδῶν αἰπεῖά τ' libri Et. gen. v. ἔνοσις 684 ἂν DΨ
ἴ
ἀλλήλοις Aldus, ἀλλήλοισιν ΩΨ ἔσαν G, εσαν (ἴ m. ead.) H 687 ἔσχεν FH m^1, ἴσχεν H m^2

εἶθαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν
φαῖνε βίην· ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπ' Ὀλύμπου
ἀστράπτων ἔστειχε συνωχαδόν· οἱ δὲ κεραυνοὶ
ἴκταρ ἅμα βροντῇ τε καὶ ἀστεροπῇ ποτέοντο
χειρὸς ἄπο στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες
ταρφέες· ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζε
καιομένη, λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη.
ἔζεε δὲ χθὼν πᾶσα καὶ Ὠκεανοῖο ῥέεθρα
πόντος τ' ἀτρύγετος· τοὺς δ' ἄμφεπε θερμὸς ἀυτμὴ
Τιτῆνας χθονίους, φλὸξ δ' αἰθέρα δῖαν ἵκανεν
ἄσπετος, ὄσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
καῦμα δὲ θεσπέσιον κάτεχεν Χάος· εἴσατο δ' ἄντα
ὀφθαλμοῖσι ἰδεῖν ἠδ' οὔασι ὄσσαν ἀκοῦσαι
αὔτως, ὡς εἰ Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθε
πίλνατο· τοῖος γάρ κε μέγας ὑπὸ δοῦπος ὀρώρει
τῆς μὲν ἐρειπομένης, τοῦ δ' ὑψόθεν ἐξεριπόντος·
τόσσος δοῦπος ἔγεντο θεῶν ἔριδι ξυνιόντων.
σὺν δ' ἄνεμοι ἔνοσίν τε κονίην τ' ἐσφαράγιζον
βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,

---

688 *δέ γε* D 691 *ἀστεροπῇ* e corr. L; *ἀστραπῇ* ΩbcK Et. gen. v. *ἴκταρ* cod. B, *ἀστραπῆν* eiusdem cod. A, *ἀστραπῇ εὖ* D *πετέοντο* FH, *πετέονται* superscr. *οντο* E 693 *φερέσκιος* ΩbΨ, superscr. *γρ. φερέσβιος* E 694 *ἄσχετος* D 695 *ἔζεσε* H, *ἔζει* F 696 *θέρμη* F 697 *αἰθέρα* (*δῖον*) Naber, *ἠέρα* libri 700 *ἄν τῳ* Peppmüller 702 *ὡς εἰ* (et *μέγιστος* in v. 703) in una recensione fuisse arbitratus est Hermann, in altera *ὡς ὅτε Γαῖα* . . . . | *ἀλλήλοις πίλναιντο, μέγας δ'* . . . *ὀρώροι*; (*ὅτε*) . . *πίλναινθ'· οἷος γάρ κε μέγιστος δοῦπος ὀρώροι* Schoemann; *ὡς ὅτε* libri 703 *πίλνατο* Ω, *πίλναντο* (eraso *ν* L) Ψ *κε* e *γε* rest. D *μέγιστος* Ωb Pseudaristides *Ῥοδ.* (XXV) 39 706 *ἔνοσίς τε* cod. Laur. LXXXXI sup. 10 *κονίην τ'* Ω (*γρ. κόνιν* superscr. E), *κόνιν τ'* Ψ, *κόνιν τ' ἄμυδις σφαράγιζον* Stadtmüller 707 *ἠγαθόεντα* superscr. *αἰθαλ* D, *ἀγαθόεντα* HK, m. al. *αἰθαλόεντα* marg. H, *αἰθαλόεντα* e corr., *γρ. ἀγαθόεντα* marg. sinist., *γρ. αἰθαλόεντα* marg. dext. L

κῆλα Διὸς μεγάλοιο, φέρον δ' ἰαχήν τ' ἐνοπήν τε
ἐς μέσον ἀμφοτέρων· ὄτοβος δ' ἄπλητος ὀρώρει
σμερδαλέης ἔριδος, κάρτος δ' ἀνεφαίνετο ἔργων.
ἐκλίνθη δὲ μάχη· πρὶν δ' ἀλλήλοις ἐπέχοντες
ἐμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας.

Οἳ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν
Κόττος τε Βριάρεώς τε Γύης τ' ἄατος πολέμοιο,
οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
πέμπον ἐπασσυτέρας, κατὰ δ' ἐσκίασαν βελέεσσι
Τιτῆνας, καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
πέμψαν καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν
χερσὶν νικήσαντες ὑπερθύμους περ ἐόντας,
τόσσον ἔνερθ' ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
[τόσσον γάρ τ' ἀπὸ γῆς ἐς Τάρταρον ἠερόεντα.]
ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
οὐρανόθεν κατιὼν δεκάτῃ κ' ἐς γαῖαν ἵκοιτο·
ἐννέα δ' αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
ἐκ γαίης κατιὼν δεκάτῃ κ' ἐς Τάρταρον ἵκοι.
τὸν πέρι χάλκεον ἕρκος ἐλήλαται· ἀμφὶ δέ μιν νὺξ
τριστοιχεὶ κέχυται περὶ δειρήν· αὐτὰρ ὕπερθεν

709 *γρ. κόναβος* schol. 714 *τ' Ὀβριάρεως* Hermann *Γύης* cod. Vatic. 1332, *γύγης* ΩΨ 718 *ὑπ'* D 719 *νικήσαντες χερσὶν* codd.; transposui 720 *γαίης* GΨ, superscr. *γρ. γῆς* H, *γῆς* e *γαίης* rest. m[1] D 721 eiecit Ruhnken; om. G, iterant DΩb (cf. ad 723 sq.) *ἶσον* (pro *τόσσον*) H, in v. iterato DΩb *δ' αὖ* Ωb *γαίης* ΩbHΨ 723 sq. om. m[1] DΩcΨ; habet in marg. D v. 721 (*ἶσον δ' αὖτ'* scr.) interposito; v. 723, 721 iteratum (*ἶσον δ' αὖτ' ἀπὸ γαίης . . .*), 724 in textum recepit Ωb; 723 m[2] inter lineas, 724 in marg. exhibet H 723 *δεκάτῃ δ'* DΩbH (in v. postea addito) Isagogae Arati p. 319 et 333 M., *κ'* Thiersch 724 *δ' αὖ* Isagoga Arati utroque l., *γὰρ* D, *γάρ οἱ* Ωb, litter. del. superscr. *δ' αὖ* H 725 *κ'* Thiersch, *δ'* codd. praeter H Isag. Arati p. 319, om. H Isagoga Arati p. 333 *ἵκοιτο* Ωbc Isagogae Arati p. 333 codd. pars

γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης.
    ἔνθα θεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
κεκρύφαται βουλῇσι Διὸς νεφεληγερέταο
[χώρῳ ἐν εὐρώεντι, πελώρης ἔσχατα γαίης.]
τοῖς οὐκ ἐξιτόν ἐστι, θύρας δ' ἐπέθηκε Ποσειδέων
χαλκείας, τεῖχος δὲ περοίχεται ἀμφοτέρωθεν.
ἔνθα Γύης Κόττος τε καὶ Ὀβριάρεως μεγάθυμος
ναίουσιν, φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.
    ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν
ἀργαλέ' εὐρώεντα, τά τε στυγέουσι θεοί περ,
χάσμα μέγ', οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
οὖδας ἵκοιτ', εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο.
[ἀλλά κεν ἔνθα καὶ ἔνθα φέροι πρὸ θύελλα θυέλλη
ἀργαλέη· δεινὸν δὲ καὶ ἀθανάτοισι θεοῖσι
τοῦτο τέρας· Νυκτὸς δ' ἐρεβεννῆς οἰκία δεινὰ
ἕστηκεν νεφέλῃς κεκαλυμμένα κυανέῃσιν.]
    τῶν πρόσθ' Ἰαπετοῖο πάις ἔχει οὐρανὸν εὐρὺν
ἑστηὼς κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν
ἀστεμφέως, ὅθι Νύξ τε καὶ Ἡμέρη ἆσσον ἰοῦσαι

---

731 eiecit Guyet 732 τῷν schol. ποσειδάων DGK, ποσειδῶν ΩbH e corr. L; corr. Triclinius 733 περ οἴχεται (ο ex ι, ι e κ m[1]) DE (γρ. περίκειται marg. E), περίκειται FΩcΨ 734 γύγης libri, cf. v. 149 Ὀβριάρεως cod. Laur. conv. suppr. 15, ὀβριάρεως Ψ, ὁ βριάρεως (βρυάρεως D) DΩb, βριάρεως Ωc 739 ζμερ<δαλέ' ex Hom. Υ 65 Philodemus περὶ εὐσεβ. p. 27 742—745 seclusit A. Meyer 742 φέροι πρὸ θύελλα Heinsius, φέρει πρὸ θύελλα (προθύελλα DK) DΩbK 744 Νυκτὸς δ' ἐρεβεννῆς (β ex μ corr. m[1]) D, καὶ νυκτὸς ἐρεμνῆς ΩbΨ, ἐρεμνῆς om. Ωc (m. alia superscr. H) 746 ἔχει ex ἔχετ' rest. m[1] D, ἔχετ' libri cett. 748 ἀμφὶς ἰοῦσαι Ωc (γρ. ἀμφὶς ἐοῦσαι καὶ ἆσσον ἰοῦσαι marg. H), ἀμφὶς ἐοῦσαι Ωb (γρ. ἆσσον ἰοῦσαι m[2] superscr. E)

ἀλλήλας προσέειπον, ἀμειβόμεναι μέγαν οὐδὸν
χάλκεον· ἣ μὲν ἔσω καταβήσεται, ἣ δὲ θύραζε
ἔρχεται, οὐδέ ποτ᾽ ἀμφοτέρας δόμος ἐντὸς ἐέργει,
ἀλλ᾽ αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα
γαῖαν ἐπιστρέφεται, ἣ δ᾽ αὖ δόμου ἐντὸς ἐοῦσα
μίμνει τὴν αὐτῆς ὥρην ὁδοῦ, ἔς τ᾽ ἂν ἵκηται,
ἣ μὲν ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα,
ἣ δ᾽ Ὕπνον μετὰ χερσί, κασίγνητον Θανάτοιο,
Νὺξ ὀλοή, νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.
 ἔνθα δὲ Νυκτὸς παῖδες ἐρεμνῆς οἰκί᾽ ἔχουσιν,
Ὕπνος καὶ Θάνατος, δεινοὶ θεοί· οὐδέ ποτ᾽ αὐτοὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν
οὐρανὸν εἰς ἀνιὼν οὐδ᾽ οὐρανόθεν καταβαίνων.
τῶν ἕτερος γαῖάν τε καὶ εὐρέα νῶτα θαλάσσης
ἥσυχος ἀνστρέφεται καὶ μείλιχος ἀνθρώποισι,
τοῦ δὲ σιδηρέη μὲν κραδίη, χάλκεον δέ οἱ ἦτορ
νηλεὲς ἐν στήθεσσιν· ἔχει δ᾽ ὃν πρῶτα λάβῃσιν
ἀνθρώπων· ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσιν.
 ἔνθα θεοῦ χθονίου πρόσθεν δόμοι ἠχήεντες
[ἰφθίμου τ᾽ Ἀίδεω καὶ ἐπαινῆς Περσεφονείης]
ἑστᾶσιν, δεινὸς δὲ κύων προπάροιθε φυλάσσει
νηλειής, τέχνην δὲ κακὴν ἔχει· ἐς μὲν ἰόντας
σαίνει ὁμῶς οὐρῇ τε καὶ οὔασιν ἀμφοτέροισιν,
ἐξελθεῖν δ᾽ οὐκ αὖτις ἐᾷ πάλιν, ἀλλὰ δοκεύων
ἐσθίει, ὅν κε λάβῃσι πυλέων ἔκτοσθεν ἰόντα.

[ἰφθίμου τ᾽ Ἀίδεω καὶ ἐπαινῆς Περσεφονείης.]

---

754 εὖτ᾽ ἂν DFK, superscr. ἔς τ᾽ ἂν E, ἕστ᾽ ἂν e corr. L 758 ἐρεμνοὶ D 761 εἰς οὐρανὸν ἀνιὼν Ωc, εἰσανιὼν codd. cett. 762 τῶν δ᾽ DΩbΨ ἕτερος γαίην (γαῖαν restitui) D, ἕτερος μὲν γαίην Ψ, ἕτερος μὲν γῆν Ωbc 768 suspectus Wolfio, cf. Hom. κ 534 772 αὖθις codd. 774 spurium om. ΩΨ, m[2] adscr. H

ἔνθα δὲ ναιετάει στυγερὴ θεὸς ἀθανάτοισι,
δεινὴ Στύξ, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο
πρεσβυτάτη· νόσφιν δὲ θεῶν κλυτὰ δώματα ναίει
μακρῇσιν πέτρῃσι κατηρεφέ᾽· ἀμφὶ δὲ πάντη
κίοσιν ἀργυρέοισι πρὸς οὐρανὸν ἐστήρικται.
παῦρα δὲ Θαύμαντος θυγάτηρ πόδας ὠκέα Ἶρις
ἀγγελίην πωλεῖται ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.
ὁππότ᾽ ἔρις καὶ νεῖκος ἐν ἀθανάτοισιν ὄρηται
καί ῥ᾽ ὅς τις ψεύδηται Ὀλύμπια δώματ᾽ ἐχόντων,
Ζεὺς δέ τε Ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι
τηλόθεν ἐν χρυσέῃ προχόῳ πολυώνυμον ὕδωρ
ψυχρόν, ὅ τ᾽ ἐκ πέτρης καταλείβεται ἠλιβάτοιο
ὑψηλῆς· πολλὸν δὲ ὑπὸ χθονὸς εὐρυοδείης
ἐξ ἱεροῦ ποταμοῖο ῥέει διὰ νύκτα μέλαιναν
Ὠκεανοῖο κέρας· δεκάτη δ᾽ ἐπὶ μοῖρα δέδασται·
ἐννέα μὲν περὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίνῃς ἀργυρέῃς εἱλιγμένος εἰς ἅλα πίπτει,
ἡ δὲ μί᾽ ἐκ πέτρης προρέει μέγα πῆμα θεοῖσιν.
ὅς κεν τὴν ἐπίορκον ἀπολλείψας ἐπομόσσῃ
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,
κεῖται νήυτμος τετελεσμένον εἰς ἐνιαυτόν·
οὐδέ ποτ᾽ ἀμβροσίης καὶ νέκταρος ἔρχεται ἆσσον
βρώσιος, ἀλλά τε κεῖται ἀνάπνευστος καὶ ἄναυδος
στρωτοῖς ἐν λεχέεσσι, κακὸν δέ ἑ κῶμα καλύπτει.

---

778 μακροῖσιν πέτροισι D κατηρεφῆ D 781 ἀγγελίην Wolf, ἀγγελίη ΩΨ, ΑΓΓΕ ... R 783 ὅς τις R (OCT<ις) ΩΨ, superscr. μὲν D 784 τε libri, κε Klouček, cf. v. 87 785 πολυόμβριμον D (altera recensio) 787 δέ θ᾽ Ωbc 793 ἀπολλείψας m[1] superscr. κατα H, ἀπολείψας ΩbGΨ, ἀπαλείψας superscr. πο m[1] D 797 γε Ωbc ἄρ᾽ ἄπνευστος ex Hom. ε 456 Hartung, ἅμ᾽ ἄπνευστος Hermann, ἀνάμπνευστος Goettling 798 δέ ἓ D, δ᾽ ἐπὶ codd. cett. Et. gen. v. κῴδιον

αὐτὰρ ἐπεὶ νοῦσον τελέσῃ μέγαν εἰς ἐνιαυτόν,
ἄλλος γ' ἐξ ἄλλου δέχεται χαλεπώτερος ἄεθλος.
εἰνάετες δὲ θεῶν ἀπαμείρεται αἰὲν ἐόντων,
οὐδέ ποτ' ἐς βουλὴν ἐπιμίσγεται οὐδ' ἐπὶ δαῖτας
ἐννέα πάντα ἔτεα· δεκάτῳ δ' ἐπιμίσγεται αὖτις
εἴρας ἐς ἀθανάτων, οἳ Ὀλύμπια δώματ' ἔχουσιν.
τοῖον ἄρ' ὅρκον ἔθεντο θεοὶ Στυγὸς ἄφθιτον ὕδωρ
ὠγύγιον, τὸ δ' ἵησι καταστυφέλου διὰ χώρου.

[Ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν
ἀργαλέ' εὐρώεντα, τά τε στυγέουσι θεοί περ.
ἔνθα δὲ μαρμάρεαί τε πύλαι καὶ χάλκεος οὐδὸς
ἀστεμφής, ῥίζῃσι διηνεκέεσσιν ἀρηρώς,
αὐτοφυής· πρόσθεν δὲ θεῶν ἔκτοσθεν ἁπάντων
Τιτῆνες ναίουσι, πέρην Χάεος ζοφεροῖο.
αὐτὰρ ἐρισμαράγοιο Διὸς κλειτοὶ ἐπίκουροι
δώματα ναιετάουσιν ἐπ' Ὠκεανοῖο θεμέθλοις,
Κόττος τ' ἠδὲ Γύης· Βριάρεών γε μὲν ἠὺν ἐόντα
γαμβρὸν ἑὸν ποίησε βαρύκτυπος Ἐννοσίγαιος,
δῶκε δὲ Κυμοπόλειαν ὀπυίειν, θυγατέρα ἥν.]

Αὐτὰρ ἐπεὶ Τιτῆνας ἀπ' οὐρανοῦ ἐξέλασεν Ζεύς,
ὁπλότατον τέκε παῖδα Τυφωέα Γαῖα πελώρη

---

799 *ἐπὴν* Ωbc   800 *ἄεθλος* Ωb, *ἆθλος* codd. cett. 801 *ἀπαμείρεται* (superscr. ο) E, *ἀπομείρεται* F schol., *μεταμείρεται* m[1] superscr. *ἀπο* D   802 *περιμίσγεται* DΨ, *ἐπινίσσεται* Ruhnken 803 *πάντα ἔτεα* Paley, *πάντ' ἔτεα* codd.   804 *εἶρας ἐς* Hermann, *εἰρέας* codd., *εἴραις* Ruhnken   807—819 seclusit Wolf 811 *γρ. λάινος* superscr. m[1] D, m[2] H, m. rec. in marg. L; *λάινος* (superscr. *ἢ χάλκεος* E) Ωb   817 *γύγης* codd., cf. ad v. 149

Ταρτάρου ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην·
οὗ χεῖρες μὲν ἔασιν ἐπ' ἰσχύι, ἔργματ' ἔχουσαι,
καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ· ἐκ δέ οἱ ὤμων
ἦν ἑκατὸν κεφαλαὶ ὄφιος, δεινοῖο δράκοντος,
γλώσσῃσιν δνοφερῇσι λελιχμότες, ἐκ δέ οἱ ὄσσων
θεσπεσίῃς κεφαλῇσιν ὑπ' ὀφρύσι πῦρ ἀμάρυσσεν·
[πασέων δ' ἐκ κεφαλέων πῦρ καίετο δερκομένοιο·]
φωναὶ δ' ἐν πάσῃσιν ἔσαν δεινῇς κεφαλῇσι
παντοίην ὄπ' ἱεῖσαι ἀθέσφατον· ἄλλοτε μὲν γὰρ
φθέγγονθ' ὥς τε θεοῖσι συνιέμεν, ἄλλοτε δ' αὖτε
ταύρου ἐριβρύχεω, μένος ἀσχέτου, ὄσσαν ἀγαύρου,
ἄλλοτε δ' αὖτε λέοντος ἀναιδέα θυμὸν ἔχοντος,
ἄλλοτε δ' αὖ σκυλάκεσσι ἐοικότα, θαύματ' ἀκοῦσαι,
ἄλλοτε δ' αὖ ῥοίζεσχ', ὑπὸ δ' ἤχεεν οὔρεα μακρά.
καί νύ κεν ἔπλετο ἔργον ἀμήχανον ἤματι κείνῳ
καί κεν ὅ γε θνητοῖσι καὶ ἀθανάτοισιν ἄναξεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
σκληρὸν δ' ἐβρόντησε καὶ ὄβριμον, ἀμφὶ δὲ γαῖα
σμερδαλέον κονάβησε καὶ οὐρανὸς εὐρὺς ὕπερθε
πόντος τ' Ὠκεανοῦ τε ῥοαὶ καὶ τάρταρα γαίης.
ποσσὶ δ' ὑπ' ἀθανάτοισι μέγας πελεμίζετ' Ὄλυμπος
ὀρνυμένοιο ἄνακτος· ἐπεστενάχιζε δὲ γαῖα.
καῦμα δ' ὑπ' ἀμφοτέρων κάτεχεν ἰοειδέα πόντον
βροντῆς τε στεροπῆς τε, πυρός τ' ἀπὸ τοῖο πελώρου,
[πρηστήρων ἀνέμων τε κεραυνοῦ τε φλεγέθοντος.]
ἔζεε δὲ χθὼν πᾶσα καὶ οὐρανὸς ἠδὲ θάλασσα·

823 *ἔργα τ'* D 825 *δεινοῖο* Ωb, *κρατεροῖο* codd. cett. 827 *ἐπ'* D 828 proscripsit Ruhnken 830 *ὄφ' ἱεῖσαι* Ψ 832 *ἀσχέτου* Winterton, *ἄσχετον* codd. *ἀγαυροῦ* Herodianus *περὶ παθ.* II 167, 5 L. 837 *ἄνασσ* superscr. *ξεν* m[1] D 843 *ἐπεστενάχιζε* Ωbc (superscr. *ὑπεστο* E), *ἐπεστονάχιζε* DΨ 846 expunxit Heyne *φλογόεντος* D 847 *ἔζεε δὲ* (*δὲ* in ras.) L, ЄΖЄ.. R, *ἔζεσε δὲ* D, *ἔζεε πυρὶ* K, *ἔζε πυρὶ* Ωb, *ἔζεσε πυρὶ* Ωc

θυῖε δ' ἄρ' ἀμφ' ἀκτὰς περί τ' ἀμφί τε κύματα μακρὰ
ῥιπῇ ὕπ' ἀθανάτων, ἔνοσις δ' ἄσβεστος ὀρώρει·
τρέε δ' Ἀίδης, ἐνέροισι καταφθιμένοισιν ἀνάσσων,
Τιτῆνές θ' ὑποταρτάριοι, Κρόνον ἀμφὶς ἐόντες,
[ἀσβέστου κελάδοιο καὶ αἰνῆς δηιοτῆτος.]
Ζεὺς δ' ἐπεὶ οὖν κόρθυνεν ἑὸν μένος, εἵλετο δ' ὅπλα,
βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
πλῆξεν ἀπ' Οὐλύμποιο ἐπάλμενος· ἀμφὶ δὲ πάσας
ἔπρεσε θεσπεσίας κεφαλὰς δεινοῖο πελώρου.
αὐτὰρ ἐπεὶ δή μιν δάμασεν πληγῇσιν ἱμάσσας,
ἤριπε γυιωθείς, στενάχιζε δὲ γαῖα πελώρη.
φλὸξ δὲ κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος
οὔρεος ἐν βήσσῃσιν Ἀίτνης παιπαλοέσσης,
πληγέντος. πολλὴ δὲ πελώρη καίετο γαῖα
ἀτμῇ θεσπεσίῃ καὶ ἐτήκετο κασσίτερος ὣς
τέχνῃ ὕπ' αἰζηῶν ἐν ἐυτρήτοις χοάνοισι
θαλφθείς, ἠὲ σίδηρος, ὅ περ κρατερώτατός ἐστιν,
οὔρεος ἐν βήσσῃσι δαμαζόμενος πυρὶ κηλέῳ
[τήκεται ἐν χθονὶ δίῃ ὑφ' Ἡφαίστου παλάμῃσιν.]
ὣς ἄρα τήκετο γαῖα σέλαι πυρὸς αἰθομένοιο
ῥῖψε δέ μιν θυμῷ ἀκαχὼν ἐς Τάρταρον εὐρύν.

---

848 ΘΥΙ<ε R, θῦε ΩΨ 850 τρέε δ' Ἀίδης schol. Hephaest. p. 320, 3 C., τρέσσε (τρέπεται G) δ' ἀίδης Ω, τρέσσε δ' ᾅδης Ψ 851 κρόνου DΩb 852 alius recensionis esse ratus est Hermann 856 ἔπρεσε Et. gen. v. πρήθω, ἔπρεε (ἔπλεε G) ΩΨ, ἔπρη Fick, πρῆσεν? Halbertsma 858 γυρωθείς DG στενάχιζε ΩΨ, στονάχιζε Triclinius 860 αἴτνης Tzetzae in Lycophr. 688 codd. duo Viteb.; ἀιδνῆς (ἀιδνῆς) libri schol. παιπαλοέσσης Peppmüller, παιπαλοέσσῃς (vel -ης) codd. schol. 862 ἀτμῇ Oporinus, ἀυτμῇ Ω, in ras. L, ἀυτὴ K ὣς scripsi om. 866, ὡς codd. 863 ἐν ἐυτρήτοις χοάνοισι Peppmüller, ὑπό τ' εὐτρήτου χοάνοιο codd. 866 Paleio suspectus (cf. 862) 868 ἀκαχὼν D, ἀκάχων codd. cett.

Ἐκ δὲ Τυφωέος ἔστ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
νόσφι Νότου Βορέω τε καὶ ἀργέστεω Ζεφύροιο·
οἵ γε μὲν ἐκ θεόφιν γενεή, θνητοῖς μέγ' ὄνειαρ.
οἱ δ' ἄλλοι μαψαῦραι ἐπιπνείουσι θάλασσαν·
αἳ δή τοι πίπτουσαι ἐς ἠεροειδέα πόντον,
πῆμα μέγα θνητοῖσι, κακῇ θυίουσιν ἀέλλῃ·
ἄλλοτε δ' ἄλλαι ἄεισι διασκιδνᾶσί τε νῆας
ναύτας τε φθείρουσι· κακοῦ δ' οὐ γίγνεται ἀλκὴ
ἀνδράσιν, οἳ κείνῃσι συνάντωνται κατὰ πόντον·
αἳ δ' αὖ καὶ κατὰ γαῖαν ἀπείριτον ἀνθεμόεσσαν
ἔργ' ἐρατὰ φθείρουσι χαμαιγενέων ἀνθρώπων
πιμπλεῖσαι κόνιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.

Αὐτὰρ ἐπεί ῥα πόνον μάκαρες θεοὶ ἐξετέλεσσαν,
Τιτήνεσσι δὲ τιμάων κρίναντο βίηφι,
δή ῥα τότ' ὤτρυνον βασιλευέμεν ἠδὲ ἀνάσσειν
Γαίης φραδμοσύνῃσιν Ὀλύμπιον εὐρύοπα Ζῆν
ἀθανάτων· ὃ δὲ τοῖσιν ἑὰς διεδάσσατο τιμάς.

Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο Μῆτιν

---

870 *νότου τε* DΨ *βορέου* Ψ *ἀργέστεω* Ωb, ex *ἀργέσταω* m[2] rest. D, *ἀργέσταο* Ωc, *ἀργέστου* Ψ *Ζεφύροιο* (*ιο* in ras.) L, *ζεφύρου τε* (*τε* om. G) ΩK 871 *γενεή* cod. Cantabr. coll. Emman., *γενεῇ* Ω, *γενεήν* Ψ 872 *οἱ δ' ἄλλοι* Schoemann, *αἱ δ' ἄλλαι* codd. Hesychius v. *μαψαῦραι* *μὰψ αὖραι* E (*γρ. μαψαῦραι* marg. E) Ωc 873 *δ' ἤτοι* GΨ 874 *θύουσιν* codd. 875 *ἄλλοι* schol. Hom. Townl. *E* 526, *ἄλλη* F, *ἄλλῃ* Et. mag. v. *ἄεισιν* *ἄεισι* recensio x schol. Hes. schol. Hom. Townl. Et. mag. Anecd. Ox. I 46, 33 Cr., *ἀεῖσι* Ψ (in *ἀῆσι* mut. L), *ἄῃσι* Ω *διασκίδνησι* D 877 *συνάντωνται* L. Dindorf, *συναντῶνται* DEHΨ, *συναντῶντες* F, *συναντῶσι* G 878 *καὶ* om. Ω 880 *πιμπλῆσαι* ΩbK (*ῆ* in *εῖ* mut. L), *πιμπλεῦσαι* Triclinius, *πιμπλᾶσαι* Stephanus 884 *ζῆν'* DEG, *ζῆνα* FΨ, *ζεύς* superscr. *γρ. ζῆν*, in marg. *ζῆνα* H 885 *τοῖσιν ἑὰς* Ahrens, *τοῖσι* D, *τοῖσιν εὖ* (e v. 73) ΩbcΨ, *τοῖσιν ἐὺ* Heinsius 886 sqq. alteram fabulae de Metide et Minerva recensionem, quam Chrysippus Stoic. Fr. II 256 A. (= Galen. de plac. Hippocr. et Plat. III 8 p. 318 M.) affert, antiquiori Theogoniae formae adscribit Usener

πλεῖστα θεῶν τε ἰδυῖαν ἰδὲ θνητῶν ἀνθρώπων.
ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε θεὰν γλαυκῶπιν Ἀθήνην
τέξεσθαι, τότ' ἔπειτα δόλῳ φρένας ἐξαπατήσας
αἱμυλίοισι λόγοισιν ἑὴν ἐσκάτθετο νηδὺν
Γαίης φραδμοσύνῃσι καὶ Οὐρανοῦ ἀστερόεντος.
τὼς γάρ οἱ φρασάτην, ἵνα μὴ βασιληίδα τιμὴν
ἄλλος ἔχοι Διὸς ἀντὶ θεῶν αἰειγενετάων.
ἐκ γὰρ τῆς εἵμαρτο περίφρονα τέκνα γενέσθαι·
πρώτην μὲν κούρην γλαυκώπιδα Τριτογένειαν
ἶσον ἔχουσαν πατρὶ μένος καὶ ἐπίφρονα βουλήν,
αὐτὰρ ἔπειτ' ἄρα παῖδα θεῶν βασιλῆα καὶ ἀνδρῶν
ἤμελλεν τέξεσθαι, ὑπέρβιον ἦτορ ἔχοντα·
ἀλλ' ἄρα μιν Ζεὺς πρόσθεν ἑὴν ἐσκάτθετο νηδύν,
ὡς δή οἱ φράσσαιτο θεὰ ἀγαθόν τε κακόν τε.
    δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας,
Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν,
αἳ ἔργ' ὠρεύουσι καταθνητοῖσι βροτοῖσι,
Μοίρας θ', ᾗς πλείστην τιμὴν πόρε μητίετα Ζεύς,
Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵ τε διδοῦσι
θνητοῖς ἀνθρώποισιν ἔχειν ἀγαθόν τε κακόν τε.
    τρεῖς δέ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρήους,
Ὠκεανοῦ κούρη, πολυήρατον εἶδος ἔχουσα,
Ἀγλαΐην τε καὶ Εὐφροσύνην Θαλίην τ' ἐρατεινήν·

---

887 *τε ἰδυῖαν* Schoemann, *εἰδυῖαν* codd., *ἐιδυῖαν*? 888 *δὴ ἄρ' ἔμελλε* (cf. Hom. ζ 110) Fick, *δή ῥα ἔμελλε* DΩc Galenus, *δή ῥ' ἔμελλε* Ωb, *δή ῥ' ἤμελλε* Ψ 890 *ἐσκάτθετο* D, *ἐσ κάτθετο* Ψ (σ et τθ iu ras. L), *ἐγκάτθετο* (γ in ras. E) Ωb Chrysippus, *ἐγκάτθεο* G, *ἐσκάτθεο* (γ et τ superscr.) (corr. m[1]) H 891—899 non commemoravit Chrysippus 899 *ἐσκάτθετο* DEH, *ἐσ κάτθετο* Ψ, *ἐγκάτθετο* F, *ἐγκάτθεο* G 900 *ὡς οἱ συμφράσσαιτο* Chrysippus 903 *Ϝέργ'* Paley, *τ' ἔργ'* libri *ὠρεύουσι* D, *ὠραίουσι* Ωbc 904 *αἷς* D 905 *λάχεσιν* superscr. altero λ D 909 *Εὐφροσύνην τε καὶ Ἀγλαΐην* fortasse Themistius VI 79 c

[τῶν καὶ ἀπὸ βλεφάρων ἔρος εἴβετο δερκομενάων
λυσιμελής· καλὸν δέ θ' ὑπ' ὀφρύσι δερκιόωνται.]

αὐτὰρ ὁ Δήμητρος πολυφόρβης ἐς λέχος ἦλθεν,
ἣ τέκε Περσεφόνην λευκώλενον, ἣν Ἀιδωνεὺς
ἥρπασε ἧς παρὰ μητρός· ἔδωκε δὲ μητίετα Ζεύς.

Μνημοσύνης δ' ἐξαῦτις ἐράσσατο καλλικόμοιο,
ἐξ ἧς οἱ Μοῦσαι χρυσάμπυκες ἐξεγένοντο
ἐννέα, τῇσι ἅδον θαλίαι καὶ τέρψις ἀοιδῆς.

Λητὼ δ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἱμερόεντα γόνον περὶ πάντων Οὐρανιώνων,
γείνατο, αἰγιόχοιο Διὸς φιλότητι μιγεῖσα.

λοισθοτάτην δ' Ἥρην θαλερὴν ποιήσατ' ἄκοιτιν·
ἡ δ' Ἥβην καὶ Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτε
μειχθεῖσ' ἐν φιλότητι θεῶν βασιλῆι καὶ ἀνδρῶν.

αὐτὸς δ' ἐκ κεφαλῆς γλαυκώπιδα Τριτογένειαν
δεινὴν ἐγρεκύδοιμον ἀγέστρατον ἀτρυτώνην
πότνιαν, ᾗ κέλαδοί τε ἅδον πόλεμοί τε μάχαι τε,
Ἥρη δ' Ἥφαιστον κλυτὸν οὐ φιλότητι μιγεῖσα
γείνατο, καὶ ζαμένησε καὶ ἤρισε ᾧ παρακοίτῃ,
ἐκ πάντων τέχνῃσι κεκασμένον Οὐρανιώνων.

Ἐκ δ' Ἀμφιτρίτης καὶ ἐρικτύπου Ἐννοσιγαίου
Τρίτων εὐρυβίης γένετο μέγας, ὅς τε θαλάσσης
πυθμέν' ἔχων παρὰ μητρὶ φίλῃ καὶ πατρὶ ἄνακτι
ναίει χρύσεα δῶ, δεινὸς θεός. αὐτὰρ Ἄρηι
ῥινοτόρῳ Κυθέρεια Φόβον καὶ Δεῖμον ἔτικτε
δεινούς, οἵ τ' ἀνδρῶν πυκινὰς κλονέουσι φάλαγγας

---

910 sq. seclusit Gruppe 916 αἱ Ω 920 γείνατο Fick, γείνατ' ἄρ' Ω, γείνατο δ' ἄρ' Ψ 924 γείνατ' Ἀθήνην Ωc Chrysippus 934 ῥινοτόμῳ Ioannes Galen.

ἐν πολέμῳ κρυόεντι σὺν Ἄρηι πτολιπόρθῳ,
Ἁρμονίην θ', ἣν Κάδμος ὑπέρθυμος θέτ' ἄκοιτιν.

Ζηνὶ δ' ἄρ' Ἀτλαντὶς Μαίη τέκε κύδιμον Ἑρμῆν,
κήρυκ' ἀθανάτων, ἱερὸν λέχος εἰσαναβᾶσα.
Καδμείη δ' ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱὸν
μειχθεῖσ' ἐν φιλότητι, Διώνυσον πολυγηθέα,
ἀθάνατον θνητή· νῦν δ' ἀμφότεροι θεοί εἰσιν.
Ἀλκμήνη δ' ἄρ' ἔτικτε βίην Ἡρακληείην
μειχθεῖσ' ἐν φιλότητι Διὸς νεφεληγερέταο.

Ἀγλαΐην δ' Ἥφαιστος, ἀγακλυτὸς ἀμφιγυήεις,
ὁπλοτάτην Χαρίτων θαλερὴν ποιήσατ' ἄκοιτιν.
χρυσοκόμης δὲ Διώνυσος ξανθὴν Ἀριάδνην,
κούρην Μίνωος, θαλερὴν ποιήσατ' ἄκοιτιν.
τὴν δέ οἱ ἀθάνατον καὶ ἀγήρω θῆκε Κρονίων.

Ἥβην δ' Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱός,
ἲς Ἡρακλῆος, τελέσας στονόεντας ἀέθλους,
παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου,
αἰδοίην θέτ' ἄκοιτιν ἐν Οὐλύμπῳ νιφόεντι,
ὄλβιος, ὃς μέγα ἔργον ἐν ἀθανάτοισιν ἀνύσσας
ναίει ἀπήμαντος καὶ ἀγήραος ἤματα πάντα.

Ἠελίῳ δ' ἀκάμαντι τέκεν κλυτὸς Ὠκεανίνη
Περσηὶς Κίρκην τε καὶ Αἰήτην βασιλῆα.
Αἰήτης δ' υἱὸς φαεσιμβρότου Ἠελίοιο

---

938 *φαίδιμον* (e v. 940) Ψ   940 *καδμὶς* (= *Καδμηὶς*) Ψ   941 *πολυγηθῆ* Clemens Strom. I 21 (Euseb. Praep. ev. 499 a) Apostolius VIII 34 l   943 sqq. '*ἀθετοῦνται ἐφεξῆς στίχοι ἐννέα*' schol.   954 *ἐνὶ θνητοῖσιν* Osann, *ἐν ἀνθρώποισιν* Paley

κούρην Ὠκεανοῖο τελήεντος ποταμοῖο
γῆμε θεῶν βουλῇσι, Ἰδυῖαν καλλιπάρηον.
ἡ δή οἱ Μήδειαν εὔσφυρον ἐν φιλότητι
γείναθ' ὑποδμηθεῖσα διὰ χρυσέην Ἀφροδίτην.

Ὑμεῖς μὲν νῦν χαίρετ', Ὀλύμπια δώματ' ἔχοντες,
νῆσοί τ' ἤπειροί τε καὶ ἁλμυρὸς ἔνδοθι πόντος.
νῦν δὲ θεάων φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,
ὅσσαι δὴ θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.

Δημήτηρ μὲν Πλοῦτον ἐγείνατο, δῖα θεάων,
Ἰασίων' ἥρωι μιγεῖσ' ἐρατῇ φιλότητι
νειῷ ἔνι τριπόλῳ, Κρήτης ἐν πίονι δήμῳ,
ἐσθλόν, ὃς εἶσ' ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
πάντη· τῷ δὲ τυχόντι καὶ οὗ κ' ἐς χεῖρας ἵκηται,
τὸν δ' ἀφνειὸν ἔθηκε, πολὺν δέ οἱ ὤπασεν ὄλβον.

Κάδμῳ δ' Ἁρμονίη, θυγάτηρ χρυσέης Ἀφροδίτης,
Ἰνὼ καὶ Σεμέλην καὶ Ἀγαυὴν καλλιπάρηον
Αὐτονόην θ', ἣν γῆμεν Ἀρισταῖος βαθυχαίτης,
γείνατο καὶ Πολύδωρον ἐυστεφάνῳ ἐνὶ Θήβῃ.

[κούρη δ' Ὠκεανοῦ, Χρυσάορι καρτεροθύμῳ
μειχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης,
Καλλιρόη τέκε παῖδα βροτῶν κάρτιστον ἁπάντων,

959 neglexit schol. Laur. Apoll. Rhod. Arg. Γ 242 961 *δη* Guyet, *δέ* codd., *δέ* ⟨*νυ*⟩ Triclinius 962 *χρυσῆν* codd. 964 imitantur Callim. Hymn. Del. 266 Dionys. Perieg. 1181 Orac. Sib. XI 182 Quint. Smyrn. XIV 512; reiecit Heyne 970 *Ἰασίων'* D, *ἰασίῳ* (altera rec.) Ωbc, *ἀσσίῳ* Ψ 972 *ἐσθλός* Ωb 973 *πάντη* Wolf, *πᾶσαν* libri 974 *τὸν δὴ* Ωb *δέ* Ωc, *τέ* codd. cett. 975 *χρυσῆς* libri 977 *αὐτανόμην* D 979—983 seclusit Clericus 981 *κάλλιστον* D

Γηρυονέα, τὸν κτεῖνε βίη Ἡρακληείη
βοῶν ἕνεκ' εἰλιπόδων ἀμφιρρύτῳ εἰν Ἐρυθείῃ.]
Τιθωνῷ δ' Ἠὼς τέκε Μέμνονα χαλκοκορυστήν,
Αἰθιόπων βασιλῆα, καὶ Ἠμαθίωνα ἄνακτα.
αὐτὰρ ὑπαὶ Κεφάλῳ φιτύσατο φαίδιμον υἱόν,
ἴφθιμον Φαέθοντα, θεοῖς ἐπιείκελον ἄνδρα.
τόν ῥα νέον τέρεν ἄνθος ἔχοντ' ἐρικυδέος ἥβης
παῖδ' ἀταλὰ φρονέοντα φιλομμειδὴς Ἀφροδίτη
ὦρτ' ἀναρεψαμένη, καί μιν ζαθέοις ἐνὶ νηοῖς
νηοπόλον νύχιον ποιήσατο, δαίμονα δῖον.
κούρην δ' Αἰήταο διοτρεφέος βασιλῆος
Αἰσονίδης βουλῇσι θεῶν αἰειγενετάων
ἦγε παρ' Αἰήτεω, τελέσας στονόεντας ἀέθλους,
τοὺς πολλοὺς ἐπέτελλε μέγας βασιλεὺς ὑπερήνωρ,
ὑβριστὴς Πελίης καὶ ἀτάσθαλος ὀβριμοεργός.
τοὺς τελέσας Ἰαωλκὸν ἀφίκετο, πολλὰ μογήσας,
ὠκείης ἐπὶ νηὸς ἄγων ἑλικώπιδα κούρην
Αἰσονίδης, καί μιν θαλερὴν ποιήσατ' ἄκοιτιν.
καί ῥ' ἥ γε δμηθεῖσ' ὑπ' Ἰήσονι, ποιμένι λαῶν,
Μήδειον τέκε παῖδα, τὸν οὔρεσιν ἔτρεφε Χίρων
Φιλυρίδης· μεγάλου δὲ Διὸς νόος ἐξετελεῖτο.
αὐτὰρ Νηρῆος κοῦραι, ἁλίοιο γέροντος,
ἦ τοι μὲν Φῶκον Ψαμάθη τέκε δῖα θεάων
Αἰακοῦ ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην,

---

982 *γηρυονῆα* Ψ, e corr. G, *γρ. Γηρυόνην* schol., *γηρυονῆ* cod. Cantabr. colleg. Emman. 986 *ὑπαὶ* scripsi e Wilamowitzii coniectura *ὑπὸ*; *τοι* DΩcΨ, *τρικεφάλῳ* Ωb (superscr. *ἢ αὐτάρ τοι* E) 990 *ἀναρεψαμένη* GΨ, *ἀναρειψαμένη* D, *ἀνερειψαμένη* ΩbH 991 *νύχιον* libri, in *μύχιον* mut. F (addito in marg. *μύχιον*), *γρ. μύχιον* EH; *μύχιον* Aristarchus 997 *Ἰαωλκὸν* scripsi, *ἐς* (*εἰς* E) *ἰωλκὸν* codd. 1001 *Χίρων* cf. Kretschmer d. gr. Vaseninschr. 131 sq., *χείρων* libri 1002 *φιλλυρίδης* DΩbH, *φυλλυρίδης* GΨ 1005 *χρυσῆν* libri

Πηλέι δὲ δμηθεῖσα θεὰ Θέτις ἀργυρόπεζα
γείνατ' Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα.
Αἰνείαν δ' ἄρ' ἔτικτεν ἐυστέφανος Κυθέρεια
Ἀγχίσῃ ἥρωι μιγεῖσ' ἐρατῇ φιλότητι
*Ἴδης ἐν κορυφῇσι πολυπτύχου ὑλη
έσσης.*
Κίρκη δ', Ἠελίου θυγάτηρ Ὑπεριονίδαο,
γείνατ' Ὀδυσσῆος ταλασίφρονος ἐν φιλότητι
Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε·
[Τηλέγονον δ' ἄρ' ἔτικτε διὰ χρυσέην Ἀφροδίτην.]
οἳ δή τοι μάλα τῆλε μυχῷ νήσων ἱεράων
πᾶσιν Τυρσηνοῖσιν ἀγακλειτοῖσι ἄνασσον.
Ναυσίθοον δ' Ὀδυσῆι Καλυψὼ δῖα θεάων
γείνατο Ναυσίνοόν τε μιγεῖσ' ἐρατῇ φιλότητι.

Αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
νῦν δὲ γυναικῶν φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.

* * * * *

1006 *πηλεῖ* codd., corr. Goettling 1010 *ἠνεμοέσσης* Ωc, superscr. *γρ. ὑληέσσης* H 1011 *ὑπερηνορίδαο* G, superscr. *ιονι* m² D, in *ὑπεριονίδαο* mut. H 1012 *τίκτεν Ὀδυσσῆι ταλασίφρονι* schol. Laur. Apoll. Rhod. Arg. Γ 200 1014 om. D, neglegunt schol. Laur. Apoll. Rhod. Eustathius Hom. 1796, 43 *δ' ἄρ'* Paley, *δ'* ΩbΨ, *τε* Ωc 1015 *δ' ἤτοι* Ωbc 1018 *ναυσίθοον* K, *λυσίνοον* in ras. L

ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ

NOTAE LIBRORUM

Libri primarii

A = papyrus Raineri archiducis Austriae, nunc bibl. caesareae Vindobonensis L. P. 21—29 saec. IV
B = fragmenta papyracea Navillii, nunc bibl. Genavensis pap. 94 saec. fere V

C = cod. Parisinus bibl. publicae ('nationalis') 2771 saec. XI
D = cod. Florentinus bibl. Laurentianae XXXI 39 saec. XII
E = cod. Messanius bibl. universitatis 'praeexistens 11' saec. XII exeuntis—XIII

Libri secundarii

F = cod. Romanus bibl. Vaticanae 38 saec. XIV
G = cod. Venetus bibl. Marcianae IX 6 saec. XIV
H = cod. Florentinus bibl. Laurentianae XXXI 37 saec. XIV

I = cod. Florentinus bibl. Laurentianae XXXII 16 saec. XIII (1281)
K = cod. Florentinus bibl. Laurentianae XXXII 2 saec. XIV
L = cod. Mediolanensis bibl. Ambrosianae G 32 sup. saec. XIV
M = cod. Florentinus bibl. Riccardianae 71 saec. XV (1428)

N = cod. Mediolanensis bibl. Ambrosianae J 15 sup. saec. XIV
O = cod. Parisinus bibl. publicae ('nationalis') 2773 saec. XIV
P = cod. Cantabrigiensis Galeanus O 9, 27 saec. XIII et XIV
Q = cod. Romanus bibl. Vaticanae 1332 saec. XIV

Ex his adnumerandi sunt

classi *Ω*: 1. codex C
2. codices FGH = Ωb

classi *Ψ*: 1. codex D
2. codices IKLM = Ψb

classi *Φ*: 1. codex E
2. codices NOPQ = Φb

recensio Triclinii: cod. Venetus bibl. Marcianae 464 saec. XIV

Μοῦσαι Πιερίηθεν ἀοιδῇσιν κλείουσαι
δεῦτε, Δί' ἐννέπετε, σφέτερον πατέρ' ὑμνείουσαι·
ὅν τε διὰ βροτοὶ ἄνδρες ὁμῶς ἄφατοί τε φατοί τε,
ῥητοί τ' ἄρρητοί τε Διὸς μεγάλοιο ἕκητι.
ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει,
ῥεῖα δ' ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει,
ῥεῖα δέ τ' ἰθύνει σκολιὸν καὶ ἀγήνορα κάρφει
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.

κλῦθι ἰδὼν ἀίων τε, δίκῃ δ' ἴθυνε θέμιστας
τύνη· ἐγὼ δέ κε, Πέρσῃ, ἐτήτυμα μυθησαίμην.

Οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένος, ἀλλ' ἐπὶ γαῖαν
εἰσὶ δύω· τὴν μέν κεν ἐπαινέσσειε νοήσας,
ἡ δ' ἐπιμωμητή· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
ἡ μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει,
σχετλίη· οὔ τις τήν γε φιλεῖ βροτός, ἀλλ' ὑπ' ἀνάγκης

1—10 non agnoverunt Boeoti Heliconis accolae Praxiphanes, obelo notarunt Aristarchus Crates alii, Hesiodi esse prooemium Kirchhoff et Leo arbitrantur 2 δὴ GHI (superscr. δί') M (superscr. ι) NPQ Herodianus περὶ σχημ. III 89, 9 Sp. schol. Hom. Ven. A Townl. *Α* 1 Polybius gramm. 288, 17 N. 5 ῥέα μὲν Apollonius Dysc. de adv. 561, 7 B. Dio Prus. XII 23 schol. Hephaest. p. 318, 17 et 320, 6 Consbr. Anecd. Ox. I 383 Cr., ῥεῖα μὲν libri Aristides XXVI 39 ῥεῖα δὲ DE, καί τε Et. gen. v. Βριάρεως 10 seclusit Goettling Τύνη Polyzelus 12 ἐπαινέσσειε H, ἐπαινέσειε D, m^1 η superscr. MQ, ἐπαινήσειε codd. cett.

ἀθανάτων βουλῇσιν Ἔριν τιμῶσι βαρεῖαν.
τὴν δ' ἑτέρην προτέρην μὲν ἐγείνατο Νὺξ ἐρεβεννή,
θῆκε δέ μιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
γαίης ἐν ῥίζῃσι, καὶ ἀνδράσι πολλὸν ἀμείνω·
ἥ τε καὶ ἀπάλαμόν περ ὁμῶς ἐπὶ ἔργον ἔγειρεν.
εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζει
πλούσιον, ὃς σπεύδει μὲν ἀρώμεναι ἠδὲ φυτεύειν
οἶκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενος σπεύδοντ'· ἀγαθὴ δ' Ἔρις ἥδε βροτοῖσιν.

καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων,
καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ.

ὦ Πέρση, σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ,
μηδέ σ' Ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι
νείκε' ὀπιπεύοντ' ἀγορῆς ἐπακουὸν ἐόντα.
ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε,
ᾧ τινι μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται
ὡραῖος, τὸν γαῖα φέρει, Δημήτερος ἀκτήν.

---

18 *ναίειν* | *γαίης τ' — ἀνδράσι*, Blass 19 *τ' ἐν* libri, *τ'* del. Guyet 20 *ἀπάλαμον* GHI, *ἀπάλαμνον* codd. cett. *ἔγειρεν* CE m[1] NO, *ἐγείρει* E m[2] O marg. codd. cett. schol. 21 *χατίζει* CF Stobaei III c. 29 s. 2 cod. A, *χατίζων* (*γρ.* F) codd. cett. Galenus X 6 K. Stobaei cod. S schol. 22 *πλησίον* Danielsson *ἀρόμεναι* DIL Stobaeus et superscr. *ω* MPQ, *τ' ἀρόμεναι* O, *ἀρόμμεναι* G 24 *ἄφενον* Ωb (superscr. *σ* m[1] F) ΨΦ (*ν* in ras. O, *ς* superscr. Q) Stobaei cod. M schol. Oppian. Hal. I 500 *σπεύδων* Stobaeus 25 *κεραμεῖ κεραμεὺς* Aristoteles Polit. V 8 *φθονέει* e v. 26 Olympiodorus in Plat. Alcib. prior. II 179 Cr. *καὶ ῥήτορι τέκτων* consulto Philostratus vit. soph. II 54 K., *καὶ ἀοιδὸς ἀοιδῷ* e v. 26 Plato Lys. p. 215 C 26 *φθονέει καὶ τέκτονι τέκτων* Priscianus Inst. XVIII 145 29 *ὀπιπεύοντ'* D, *ὀπισπεύοντ'* C, *ὀπιπτεύοντ'* codd. cett. 30 *ὤρη* CEIQ Harpocratio v. *θεωρικά* schol. Soph. Trach. 56 schol. 'Procli' Suid. v. *ὡρακιάσας* schol. Tzetzae; *ὥρη* m[1] (spir. len. m[2]) D, *ὥρη* libri cett. Anon. Ambros. de re metr. p. 244, 34 St.

τοῦ κε κορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοι
κτήμασ' ἐπ' ἀλλοτρίοις· σοὶ δ' οὐκέτι δεύτερον ἔσται
ὧδ' ἔρδειν· ἀλλ' αὖθι διακρινώμεθα νεῖκος
ἰθείῃσι δίκῃς, αἵ τ' ἐκ Διός εἰσιν ἄρισται.
ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθ', ἄλλα τε πολλὰ
ἁρπάζων ἐφόρεις μέγα κυδαίνων βασιλῆας
δωροφάγους, οἳ τήνδε δίκην ἐθέλοντι δίκασσαν.

νήπιοι, οὐδὲ ἴσασιν, ὅσῳ πλέον ἥμισυ παντὸς
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισιν·
ῥηιδίως γάρ κεν καὶ ἐπ' ἤματι ἐργάσσαιο,
ὥς τέ σε κεἰς ἐνιαυτὸν ἔχειν καὶ ἀεργὸν ἐόντα·
αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,
ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν.
ἀλλὰ Ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶ ᾗσιν,
ὅττι μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης·
τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά.

κρύψε δὲ πῦρ· τὸ μὲν αὖτις ἐὺς πάις Ἰαπετοῖο
ἔκλεψ' ἀνθρώποισι Διὸς πάρα μητιόεντος
ἐν κοΐλῳ νάρθηκι λαθὼν Δία τερπικέραυνον.
τὸν δὲ χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,

---

33 *ὀφέλλοι* Schoemann, *ὀφέλλοις* libri schol. Ven. B Townl. Genav. Hom. *Α* 211 39 *ἐθέλοντι δίκασσαν* Schoemann, *ἐθέλουσι δικάσσαι* libri Et. gen. v. *δωροφάγους* 41 *μέγ'*] *ἓν* Stobaeus III c. 10 s. 11 42 *νόον* Eusebius Praep. ev. XIV 4, 14 45 *αὐτίκα* schol. Aristoph. Av. 711 (*γρ.* schol. Monac. 91) 48 *ἀγκυλομητισ* C, *ἀγκυλόμητις* P Moschopulus, *ποικιλομήτης*? quidam (cf. schol. Procli) 50 *αὖθις* libri, corr. Schaefer

χαίρεις πῦρ κλέψας καὶ ἐμὰς φρένας ἠπεροπεύσας
σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισιν.
τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες.
ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
καὶ σθένος, ἀθανάτῃς δὲ θεῇς εἰς ὦπα ἐίσκειν
παρθενικῆς καλὸν εἶδος ἐπήρατον· αὐτὰρ Ἀθήνην
ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν·
καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσέην Ἀφροδίτην
καὶ πόθον ἀργαλέον καὶ γυικόρους μελεδώνας·
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείην ἤνωγε, διάκτορον Ἀργεϊφόντην.

ὣς ἔφαθ'· οἳ δ' ἐπίθοντο Διὶ Κρονίωνι ἄνακτι.
αὐτίκα δ' ἐκ γαίης πλάσσεν κλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς·
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη·
ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήν γε
Ὧραι καλλίκομοι στέφον ἄνθεσι εἰαρινοῖσιν·
[πάντα δέ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη.]

---

55 *χαίροις* FGKL Φ praeter O Origenis c. Cels. IV 38 cod. A, superscr. *ει* m¹ M 57 *σοὶ δ'* e v. 56 Clemens Strom. VI 2, 12 59 *ἐτέλεσσε* Origenes 62 *καὶ νόον* Clemens Strom V 14, 100 (cum Eusebio Praep. ev. XIII 13, 23) *ἀθανάτοις δὲ θεοῖς* Origenes *ἐίσκειν* in ras., *γρ. ἔοικεν* (ex Hom. Γ 158) in marg. C 64 *διδασκέμεναι* Origenes, *διασκῆσαι* D 65 *χρυσῆν* libri Origenes 66 *γυιοβόρους* Iulianus Misop. 347 c *μελεδώνας* C Iulianus Et. gen. v. *μελεδῶναι*; *μελεδῶνας* libri cett. schol. Origenes 68 om. Origenes 69—82 alius poetae atque v. antecedentes esse vidit Lehrs 70—72 om. Origenes 74 *τήνδε* FG Origenes 76 proscripsit Bentley

ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος Ἀργεϊφόντης
ψεύδεά θ' αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
[τεῦξε Διὸς βουλῇσι βαρυκτύπου· ἐν δ' ἄρα φωνὴν]
θῆκε θεῶν κῆρυξ, ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην, ὅτι πάντες Ὀλύμπια δώματ' ἔχοντες
δῶρον ἐδώρησαν, πῆμ' ἀνδράσιν ἀλφηστῇσιν.

αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν,
εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν Ἀργεϊφόντην
δῶρον ἄγοντα, θεῶν ταχὺν ἄγγελον· οὐδ' Ἐπιμηθεὺς
ἐφράσαθ', ὥς οἱ ἔειπε Προμηθεὺς μή ποτε δῶρον
δέξασθαι πὰρ Ζηνὸς Ὀλυμπίου, ἀλλ' ἀποπέμπειν
ἐξοπίσω, μή πού τι κακὸν θνητοῖσι γένηται.
αὐτὰρ ὃ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ', ἐνόησεν.

πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
νόσφιν ἄτερ τε κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο
νούσων τ' ἀργαλέων, αἵ τ' ἀνδράσι κῆρας ἔδωκαν.
[αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.]
ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
ἐσκέδασ'· ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά.
μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν

---

77 *στήθεσφι Φ* 79 eiecit Bentley, cf. schol. 'Procli' 81 sq. reiecit Lehrs 82 *ἐδωρήσαντο* Origenis codd. *ἐσ(σ)ομέ⟨νοισ⟩ιν* e v. 56 Philodemus *περὶ εὐσ.* p. 52 G. 86 *δῶρα* Plutarchus Mor. 23 e et 99f 89 *εἶχεν, ἐνόησε* D, *εἶχε, νόησε* Ψb versibus 90—104, quos aliunde insertos removebant Francken (cum v. 105) et Kirchhoff, variarum narrationum reliquias contineri censet Lisco veram fabulae de Pandora conclusionem Theog. v. 590—612 servatam esse ratus 90 *γὰρ* om. DO, *πρώην μὲν* cod. Vatic. 915, *πρώην μὲν γὰρ* KL, *πρῶτον μὲν* vel *τὸ πρὶν μὲν* Lehrs 91 *τε* om. ΩIL Eustathius Hom. 1817, 10, *γε* m. al. K *κακοῦ Φ* 92 *γῆρας* codd. quidam dett. 93 (= Hom. *τ* 360) habent GEQ, m. rec. in marg. ΨbNP, om. codd. cett. Origenes 96 *πίθοισιν* Seleucus

ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη· πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο
[αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο.]
ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται·
πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα·
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ, αἳ δ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι
σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.

οὕτως οὔ τί πη ἔστι Διὸς νόον ἐξαλέασθαι.

εἰ δ' ἐθέλεις, ἕτερόν τοι ἐγὼ λόγον ἐκκορυφώσω
εὖ καὶ ἐπισταμένως· σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
[ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι.]

Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ' ἔχοντες.
οἳ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅ τ' οὐρανῷ ἐμβασίλευεν·
ὥς τε θεοὶ δ' ἔζωον ἀκηδέα θυμὸν ἔχοντες
νόσφιν ἄτερ τε πόνων καὶ ὀιζύος· οὐδέ τι δειλὸν
γῆρας ἐπῆν, αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
τέρποντ' ἐν θαλίῃσι κακῶν ἐκτοσθεν ἁπάντων·
θνῇσκον δ' ὥς θ' ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα

---

97 *ἔμεινε* Ψb Plutarchus Mor. 105 d Origenes Stobaeus CX 6 99 neglexerunt Plutarchus Origenes Stobaeus 102 *ἐφήμεροι* Plutarchus, *ἐφ' ἡμέρΗ* (*Η* in ras.) C, *ἐφημέριοι* GH, *ἐφημέρι* (*ι* e corr.) F *αἳ δ'*] *ἠδ'* Φ 104 '*ἀθετεῖται*' schol. Procli 106 sq. seclusit Goettling 106 *ἐκκορυφήσω* C m[1] (*ω* m. rec.) D 108 illatum esse vidit Lehrs *ὣς* D 112 *ζώεσκον* Diodori V 66, 6 codd. pars 113 sq. *ἄτερ τε κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο* | *νούσων τ' ἀργαλέων καὶ ἀπήμονες, οὐδὲ μέλεσσι* Diodorus 113 *πόνου* Herodianus *περὶ σχημ.* III 102, 11 Sp. 115 *ἁπάντων*] *ἐόντες* Diodorus 116 *δ'*] *θ'* CH *ὥς θ'*] *ὡς* ΨbΦ Diodori codd. (praeter D) Eustathius Hom. 1843, 48 *ἄλλα τε πολλὰ* Diodorus

τοῖσιν ἔην· καρπὸν δ' ἔφερεν ζείδωρος ἄρουρα
αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἳ δ' ἐθελημοὶ
ἥσυχοι ἔργ' ἐνέμοντο σὺν ἐσθλοῖσιν πολέεσσιν. 119
αὐτὰρ ἐπεὶ δὴ τοῦτο γένος κατὰ γαῖ' ἐκάλυψε, 121
τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλὰς
ἐσθλοί, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων,
[οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα
ἠέρα ἑσσάμενοι πάντη φοιτῶντες ἐπ' αἶαν,]
πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήιον ἔσχον.
δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες,
χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα.
ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
ἐτρέφετ' ἀτάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ.
ἀλλ' ὅτ' ἄρ' ἡβήσαι τε καὶ ἥβης μέτρον ἵκοιτο,

[ἀφνειοὶ μήλοισι, φίλοι μακάρεσσι θεοῖσιν.] 120

---

118 οἳ δ' ἐπὶ γαίῃ Diodorus 119 εὔφρονες Diodorus [120] om. codd., Diodorus solus exhibet; cui versui Spohn fragm. 82 subnexuit 121 δὴ Plato Crat. p. 397 E (cum Theodoreto Graec. adf. cur. VIII p. 915 Sch.), καὶ O, κε superscr. καὶ P, κε superscr. δὴ cod. Ambros. C 222 inf., κε NPQ Tzetzes, κὲ (κ in μ mut.) D, κεν ΩΨbE γαῖ' ἐκάλυψε Fick, γαῖα κάλυψεν libri, μοῖρ' ἐκάλυψεν Plato (cum Theodoreto) 122 οἳ Plato l. c. (cum Theodoreto) et de Rep. V 468 E Aristides II p. 229 D Olympiodorus in Plat. Alcib. pr. II p. 15 Cr. ἁγνοὶ ὑποχθόνιοι καλέονται Plato Crat. Aristides, ἁγνοὶ ἐπιχθόνιοι καλέονται Olympiodorus Theodoretus, ἁγνοὶ ἐπιχθόνιοι τελέθουσιν Plato de Rep. 123 ἁγνοὶ Plutarchus Mor. p. 361 b, 417 b, 431 e ἀλεξίκακοι Plato utroque l. (Theodoretus) Aristides Themistius XX p. 240 b Proclus in Plat. Remp. II 75, 18 Kr. Olympiodorus μερόπων Plato de Rep. Themistius 124 sq. neglegunt Plutarchus Mor. 361 b Proclus Macrobius in Cic. Somn. Scip. I 9, 7 132 ὅτ' ἄρ' ἡβήσῃι τε C, ὅτ' ἄρ' (ἂρ) ἡβήσειε H (ει in ras.) IL, ὅτ' ἂν (m², fuit ἄρ) ἡβήσειε M, ὅταν ἡβησαι (αι m¹ in η mut.) τε D, ὅτ' ἂν ἡβήσῃ (ex -ειε factum) τὲ K, ὅταν ἡβήσειε (ει m. al. in ras.) F, ὅταν ἡβή-

παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε᾽ ἔχοντες
ἀφραδίῃς· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
ἀλλήλων ἀπέχειν, οὐδ᾽ ἀθανάτους θεραπεύειν
ἤθελον οὐδ᾽ ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
ἣ θέμις ἀνθρώποις κατὰ ἤθεα. τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε χολούμενος, οὕνεκα τιμὰς
οὐκ ἔδιδον μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.
αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖ᾽ ἐκάλυψε,
τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοῖς καλέονται
δεύτεροι, ἀλλ᾽ ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.

Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
χάλκειον ποίησ᾽, οὐκ ἀργυρέῳ οὐδὲν ὁμοῖον,
ἐκ μελιᾶν, δεινόν τε καὶ ὄβριμον· οἷσιν Ἄρηος
ἔργ᾽ ἔμελεν στονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον
ἤσθιον, ἀλλ᾽ ἀδάμαντος ἔχον κρατερόφρονα θυμόν,
ἄπλαστοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
τῶν δ᾽ ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,
χαλκῷ δ᾽ εἰργάζοντο· μέλας δ᾽ οὐκ ἔσκε σίδηρος.

σειε GΦ Meletius Anecd. Ox. III 109 Cr., *ὅτ᾽ ἀνηβήσειε* anonymus (postea Blomfield et Bergk), *ὅτ᾽ ἀνηβήσαι τε* olim conieci 134 *οὐκ ἐθέλεσκον* Porphyrius de abst. II 8 135 *ἴσχειν* Porphyrius 137 *ἀνθρώποις κατὰ* Bentley, *ἀνθρώποισι κατ᾽* codd., *ἀθανάτοις* Porphyrius 139 *ἔδιδον* scripsi, *ἐδίδων* C m¹ HD m¹ (m. rec. superscr. *ο*) *Φ*, *ω* in *ου* m. rec. mut. F; *ἐδίδουν* GΨb Porphyrius *γαῖ᾽ ἐκάλυψεν* cod. Vindob. 256, *γαῖα κάλυψεν ΩΨΦ* 141 *μὲν ὑποχθόνιοι* D Proclus, *μὲν ὑποχθόνιοι*, sed *ὑπο* m. rec. in ras. C, *μὲν ἐπιχθόνιοι* ΩbΨb Tzetzes, *μέν τοι χθόνιοι Φ* (*ὑπὸ* P marg.) *φύλακες* Procli schol. *θνητοῖς* Peppmüller, *θνητοὶ* ΩΨbΦ (praeter Q) Proclus, *γρ. θεοὶ* superscr. O; *θεοὶ* D (m. al. in ras.) Q 144 *ἀργυρῷ* codd. 145 *μελιᾶν* superscr. *ῶν* O 148 *ἄπλατοι Ω* (*τ* m² in *στ* mut. H) M, *ἄπλατοι γρ. ἄπλαστοι* P *μεγάλη* superscr. *οἱ* m¹ M, *μεγάλοι* C (*οι* m. rec. in ras.) IL (*οι* in *η* mut. m. rec. L) *δὲ* om. DO, *τε* C (*τ* in ras.) Ψb 151 *δ᾽ ἀπέκειτο* Philostratus Vit. Apoll. I p. 205 K.

καὶ τοὶ μὲν χείρεσσιν ὕπο σφετέρῃσι δαμέντες
βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ Ἀίδαο
νώνυμνοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο. 155
αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖ' ἐκάλυψεν,
αὖτις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε, δικαιότερον καὶ ἄρειον,
ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
ἡμίθεοι, προτέρῃ γενεὴ κατ' ἀπείρονα γαῖαν. 160
καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ
τοὺς μὲν ὑφ' ἑπταπύλῳ Θήβῃ, Καδμηίδι γαίῃ,
ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο,
τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
ἐς Τροίην ἀγαγὼν Ἑλένης ἕνεκ' ἠυκόμοιο. 165
ἔνθ' ἦ τοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε,
τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης. 168
καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες 170
ἐν μακάρων νήσοισι παρ' Ὠκεανὸν βαθυδίνην,
ὄλβιοι ἥρωες, τοῖσιν μελιηδέα καρπὸν
τρὶς ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα. 173

[*τηλοῦ ἀπ' ἀθανάτων· τοῖσιν Κρόνος ἐμβασιλεύει.* 169

---

154 *νώνυμνοι* KP, *νώνυμοι* codd. cett. 156 *γαῖ' ἐκάλυψεν* Fick, *γαῖα κάλυψεν* codd. 157 om. B *αὖθις* IKLΦ 160 *προτέρῃ γενεῇ* ΩD m[1] KLMΦ 162 *ἐφ'* FGKOQ 165 *ἄγαγον* ('duces') Peppmüller '*Ἑλένης πόσις* Hermann 169—169[e] cf. schol. 'Procli' '*τοῦτον καὶ τοὺς* (Schoemann, *τὸν* codd.) *ἑξῆς ὡς φλεναφώδεις ἐξοικίζουσι τῶν Ἡσιόδου*'; hos v. post 173 Weil, post 171 Peppmüller collocarunt; alteri recensioni 172 sq., alteri 169—169[e] adscripserim 169 habet schol. 'Procli', agnoscunt Marcellus Sid. Epigr. gr. ed. Kaibel 1046, 9 Zenobius III 86, om. ΩΨΦ ЄΝΒΑCΙΛЄΥЄΙ Marcelli titulus, *ἐμβασίλευε* 'Proclus'

τοῦ γὰρ δεσμὸ>ν ἔλυσε πα<τὴρ ἀνδρῶν τε θεῶν τε, 169b
τοῖσιν δ' ἂρ ν>εάτοις τιμὴ<ν καὶ κῦδος ὄπασσεν. 169c
οὐδέ θ' ὁμῶς κλυτὸν ἄ>λλο γένος θῆκ' <εὐρύοπα Ζεὺς 169d
ἀνδρῶν, οἳ> γεγάασιν ἐπὶ <χθονὶ πουλυβοτείρῃ.] 169e

μηκέτ' ἔπειτ' ὤφελλον ἐγὼ πέμπτοισι μετεῖναι 174
ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν ἢ ἔπειτα γενέσθαι.
νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ
παύσονται καμάτου καὶ ὀιζύος, οὐδέ τι νύκτωρ
φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας·
[ἀλλ' ἔμπης καὶ τοῖσι μεμείξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.]
οὐδὲ πατὴρ παίδεσσιν ὁμοίιος οὐδέ τι παῖδες,
οὐδὲ ξεῖνος ξεινοδόκῳ καὶ ἑταῖρος ἑταίρῳ,
οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ.
αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας·
μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντες ἔπεσσι
σχέτλιοι οὐδὲ θεῶν ὄπιν εἰδότες· οὐδέ κεν οἵ γε
γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν
[χειροδίκαι· ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.]
οὐδέ τις εὐόρκου χάρις ἔσσεται οὔτε δικαίου

169b — 169e] reliquias exhibet B 169b rest. Weil 169c *τοῖσιν δ' ἂρ* scripsi, *τοῖσι δ' ἄρα* Weil, *τοῖς δ' εἴ περ* vel *τοῖς δ' εἰ καὶ* Peppmüller *ν>εάτοις* Weil; clausulam rest. idem 169d *οὐδ' οὕτως κλυτὸν ἄ>λλο* Weil, qui clausulam explevit; *οὐκέθ' ὁμῶς . . .* Peppmüller, *οὐδέ θ' ὁμῶς . . .* suspicor 169e *ἀνδρῶν, οἳ>* Weil, *πάντων, οἳ>* Peppmüller; clausulam rest. Weil 174 *ὤφειλον* CDΦ 177 ΠΑΥΟΝΤΑΙ B 178 *στεινόμενοι* (e Clemente) Eusebius Praep. ev. XIII 13, 58, *γινόμενοι* Clementis Strom. V 130, 1 codex (L) 179—181 seclusit Lehrs 179 *μεμίξεται* codd. 186 *ἀρετὴν* M. Antoninus XI 32 *βάζοντ' ἐπέεσσι* Ψ 187 *κεν* Brunck, *μὲν* libri Et. gen. v. *γηράντεσσιν* 189 proscripsit Hagen 190 *οὐδὲ δικαίου* CHDL m¹ Φ praeter Q Stobaeus III c. 2 s. 9, *οὐδέ τε δ.* M

οὔτ' ἀγαθοῦ, μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσί, καὶ αἰδὼς
οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα
μύθοισιν σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται.
ζῆλος δ' ἀνθρώποισιν ὀιζυροῖσιν ἅπασι
δυσκέλαδος κακόχαρτος ὁμαρτήσει, στυγερώπης.
καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης
λευκοῖσιν φάρεσσι καλυψαμένα χρόα καλὸν
ἀθανάτων μετὰ φῦλον ἴτον προλιπόντ' ἀνθρώπους
Αἰδὼς καὶ Νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
θνητοῖς ἀνθρώποισι· κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.

Νῦν δ' αἶνον βασιλεῦσι ἐρέω φρονέουσι καὶ αὐτοῖς·
ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον
ὕψι μάλ' ἐν νεφέεσσι φέρων ὀνύχεσσι μεμαρπώς·
ἡ δ' ἐλεόν, γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι,
μύρετο· τὴν ὅ γ' ἐπικρατέως πρὸς μῦθον ἔειπεν·
δαιμονίη, τί λέληκας; ἔχει νύ σε πολλὸν ἀρείων·
τῇ δ' εἶς, ᾗ σ' ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν·
δεῖπνον δ', αἴ κ' ἐθέλω, ποιήσομαι ἠὲ μεθήσω.

---

191 *οὐδ'* Stobaeus 193 *βλάπτει* schol. Soph. Phil. 456 198 ΦΑΡЄCCΙ titulus Acharnensis Epigr. gr. ed. Kaibel 1110, 2; *φαρέεσσι* libri schol. Soph. Oed. Col. 1676 schol. Eurip. Med. 439 *καλυψαμένα* titulus schol. Eurip., *καλυψαμένω* libri (*αι* superscr. H) Apollonius de constr. p. 209, 12 B. schol. Townl. Hom. *Θ* 455 schol. Soph., *καλυψάμεναι* cod. Vindob. 292 199 *ἴτον* titulus cod. Laur. conv. suppr. 158, superscr. *η* N; *ἴτην* codd. cett. (*ον* m^{2} F, *ο* ex *η* M) schol. Hom.; *ἴσαν* schol. Soph. 200 *καὶ Νέμεσις*] ЄΥΝΟΜΙΗΤ<*ε* titulus 202 *νῦν*] *ὧδ'* (e v. 203) Eustathius Hom. 1158, 37 *βασιλεῦσ' ἐρέω* ΩKLMΦb *νοέουσι* Ammonius et Et. Gud. v. *αἶνος* Apostolius praef. 5 Anecd. Par. III 371 Cr. 206 *τὴν* Peppmüller, *τὴν δ'* libri 208 *ἄγω· καὶ ἀοιδὸν ἐοῦσαν* | *δεῖπνόν σ'* Mitscherlich *ἀηδὸν* E, γρ. *ἀηδὸν ἐοῦσαν* marg. O, *ἀηδόν'* GNPQ m^{2} (*ἀοιδὸν* in ras. m^{1})

[ἄφρων δ', ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν·
νίκης τε στέρεται πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.]
ὣς ἔφατ' ὠκυπέτης ἴρηξ, τανυσίπτερος ὄρνις.

Ὦ Πέρση, σὺ δ' ἄκουε δίκης, μηδ' ὕβριν ὄφελλε·
ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς
ῥηιδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς
ἐγκύρσας ἀάτησιν· ὁδὸς δ' ἑτέρηφι παρελθεῖν
κρείσσων ἐς τὰ δίκαια· δίκη δ' ὑπὲρ ὕβριος ἴσχει
ἐς τέλος ἐξελθοῦσι· παθὼν δέ τε νήπιος ἔγνω.

αὐτίκα γὰρ τρέχει Ὅρκος ἅμα σκολιῇσι δίκῃσιν.
τῆς δὲ Δίκης ῥόθος ἑλκομένης, ᾗ κ' ἄνδρες ἄγωσι
δωροφάγοι, σκολιῇς δὲ δίκῃς κρίνωσι θέμιστας.
ἣ δ' ἕπεται κλαίουσα πόλιν καὶ ἤθεα λαῶν,
ἠέρα ἑσσαμένη, κακὸν ἀνθρώποισι φέρουσα,
οἵ τε μιν ἐξελάσωσι καὶ οὐκ ἰθεῖαν ἔνειμαν.

οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσιν
ἰθείας καὶ μή τι παρεκβαίνουσι δικαίου,
τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ·
εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος, οὐδέ ποτ' αὐτοῖς
ἀργαλέον πόλεμον τεκμαίρεται εὐρύοπα Ζεύς·
οὐδέ ποτ' ἰθυδίκῃσι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ
οὐδ' ἀάτη, θαλίῃς δὲ μεμηλότα ἔργα νέμονται.
τοῖσι φέρει μὲν γαῖα πολὺν βίον, οὔρεσι δὲ δρῦς

210 sq. proscripsit Aristarchus, poetae ipsius esse contendit Lisco 210 κρείσσονα Eunapius Fr. 87 D. Macrobius Sat. V 16 'Nicolaus' Progymn. I 281 W. 213 ἄιε (ἄειε Schulze) Et. gen. v. ἀίω 215 ΑΥΤΟΥ B 216 ἀάτησιν Nauck, ἄτησιν libri μετελθεῖν Ω schol. Genav. Hom. N 588 schol. Tzetzae 217 ἐξελθοῦσι Usener, ἐξελθοῦσα libri schol. Eurip. Hec. 1192 220 αἵ κ' Fick 228 αὐτῆς Ω (η in οι mut. H) 230 ἰθυδίκοισι FGΨbPQ 231 ἀάτη Nauck, ἄτη codd.

ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας·
εἰροπόκοι δ' ὄιες μαλλοῖς καταβεβρίθασιν·
τίκτουσιν δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσιν·
θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές· οὐδ' ἐπὶ νηῶν
νίσονται, καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.

οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς.

πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅς τις ἀλιτραίνῃ καὶ ἀτάσθαλα μηχανάαται.

τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων
λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί.
οὐδὲ γυναῖκες τίκτουσιν, μινύθουσι δὲ οἶκοι
Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου· ἄλλοτε δ' αὖτε
ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν ἢ ὅ γε τεῖχος
ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποαίνυται αὐτῶν.

Ὦ βασιλῆες, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
τήνδε δίκην· ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες

233 ἄκρη . . . μέσση CHNOP 235 τοκεῦσι DIM 240 καὶ] δὴ Aeschines in Ctes. 134 Macarius VII 32, τοι Aeschines de fals. leg. 158 ἐπαυρεῖ γρ. ἀπηύρα schol. cod. Monac. 91, ἐπηῦρεν Thiersch 241 ὅς τις ἀλιτραίνῃ Goettling, ὅς τις ἀλιτραίνει libri, ὅς κεν ἀλιτραίνῃ Aeschines utroque l. μηχανάαται libri Aeschines de fals. leg., μητιάαται idem in Ctesiph. 242 μέγα πῆμα vel πῆμα μέγα δῶκε Aeschinis codd. (δῶκεν μέγα πῆμα Sauppe) ἐπήλασε Chrysippus (Stoic. Fr. II 337 A.) ap. Plutarch. Mor. p. 1040c 244 sq. praetermisit Aeschines in Ctesiph.; Plutarchi tempore non in omnibus exemplis fuisse patet e schol. 'Procli' 247 ἀποτίνυται εὐρύοπα Ζεύς Aeschines de fals. leg. (cf. v. 239) ἀποαίνυται Peppmüller, ἀποτίνννται ΩΨbΦ Tzetzes, ὑποτίνυται D m[1] 248 βασιλῆες scripsi, βασιλῆς (superscr. ει m. al.) C, BACIΛI.? A, βασιλεῖς codd. cett. καταφράσ⟨σ⟩ασθε Et. mag. v. δίκη

ἀθάνατοι φράζονται, ὅσοι σκολιῇσι δίκῃσιν
ἀλλήλους τρίβουσι θεῶν ὄπιν οὐκ ἀλέγοντες.
τρὶς γὰρ μύριοί εἰσιν ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἀθάνατοι Ζηνὸς φύλακες θνητῶν ἀνθρώπων·
οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα
ἠέρα ἑσσάμενοι, πάντῃ φοιτῶντες ἐπ' αἶαν.
ἡ δέ τε παρθένος ἐστὶ Δίκη, Διὸς ἐκγεγαυῖα,
κυδρή τ' αἰδοίη τε θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.
καί ῥ' ὁπότ' ἄν τίς μιν βλάπτῃ σκολιῶς ὀνοτάζων,
αὐτίκα πὰρ Διὶ πατρὶ καθεζομένη Κρονίωνι
γηρύετ' ἀνθρώπων ἀδίκων νόον, ὄφρ' ἀποτείσῃ
[δῆμος ἀτασθαλίας βασιλέων, οἳ λυγρὰ νοεῦντες
ἄλλῃ παρκλίνωσι δίκας σκολιῶς ἐνέποντες.]
ταῦτα φυλασσόμενοι, βασιλῆες, ἰθύνετε †δίκας
δωροφάγοι, σκολιῶν δὲ δικέων ἐπὶ πάγχυ λάθεσθε.

οἷ γ' αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων,
ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.

πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας

---

252 ΤΡΕΙΓΑΡΧΙΛΙΟΙ (C superscr.) A 253 *δαίμονες ἀθάνατοι* Clemens Protr. II 41, 1 X 103, 1 Elias Cret. in Gregor. Naz. Or. p. 587 B *φύλακες*] *πρόπολοι* Maximus Tyr. XIV 8 *μερόπων* Clemens Protr. II 41, 1 (Eusebius Praep. ev. IV 7, 9) Sextus Emp. adv. math. IX 86 255 *πᾶσαν φοιτῶσιν* Plutarchus Mor. 948e 256 *γε* Plutarchus Mor. 781 b 260 om. A *ἄδικον* GILMQ Proclus *ἀποτίσῃ* codd. 261 sq. proscripsit Lehrs 261 *βασιλήων* Ψ (ε m² I) Φ praeter Q Tzetzes 262 *παρκλίνωσι* AI, *παρακλίνωσι* codd. cett. 263 *βασιλεῖς* IK, superscr. *ῆες* m. rec. L, ΒΑ . . . . A † *δίκας* CHDLMQ, *μύθους* m. al. in ras. F, *μύθους* (add. in marg. *γρ. δίκας* m. rec.) O, *μύθους* GIKENP (quod suasit Peppmüller); *θεσμούς*? Schoemann, *νείκεα* Schulze, *λαούς*? 264 *δικέων* Kirchhoff, *δικῶν* codd. 265 *γ'* pro *τ'* scripsi, om. Tzetzes Chil. VIII 35 Apostolius XVII 78, *οἷ θ' αὐτῷ* LMΦ 267—273 eiecit Plutarchus teste Proclo

καί νυ τάδ᾽, αἴ κ᾽ ἐθέλῃσ᾽, ἐπιδέρκεται, οὐδέ ἑ λήθει,
οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει.
νῦν δὴ ἐγὼ μήτ᾽ αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
εἴην μήτ᾽ ἐμὸς υἱός· ἐπεὶ κακὸν ἄνδρα δίκαιον
ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει·
[ἀλλὰ τά γ᾽ οὔ πω ἔολπα τελεῖν Δία μητιόεντα.]

Ὦ Πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσι,
καί νυ δίκης ἐπάκουε, βίης δ᾽ ἐπιλήθεο πάμπαν.
τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων
ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς
ἐσθέμεν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐν αὐτοῖς·
ἀνθρώποισι δ᾽ ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη
γίγνεται· εἰ γάρ τίς κ᾽ ἐθέλῃ τὰ δίκαι᾽ ἀγορεῦσαι
γιγνώσκων, τῷ μέν τ᾽ ὄλβον διδοῖ εὐρύοπα Ζεύς·
ὃς δέ κε μαρτυρίῃσι ἑκὼν ἐπίορκον ὀμόσσας
ψεύσεται, ἐν δὲ δίκην βλάψας νήκεστον ἀασθῇ,
τοῦ δέ τ᾽ ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται·
ἀνδρὸς δ᾽ εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.

Σοὶ δ᾽ ἐγὼ ἐσθλὰ νοέων ἐρέω, μέγα νήπιε Πέρση.

---

272 *μείζω δίκην ἀτιμότερος* codd. Stobaei III c. 2 s. 11, in quo *μείζω τιμὴν ἀδικώτερος* coniecit Buecheler 273 recentiorem iudicavit Lehrs *τερπικέραυνον* Ψ Tzetzes Moschopulus 274 *ἐνὶ* M 275 *δὲ ἐπιλάθεο* D 277 *μὲν* om. Sextus Emp. adv. math. II 32, *γὰρ* Clemens Strom. I 29, 181, *μὲν γὰρ* K *πετεινοῖς* D, *πετεεινοῖς* codd. Stobaei I c. 3 s. 1; *οἰωνοῖσι πετεινοῖς* Porphyrius Quaest. Hom. *ι* 106 278 *ἐσθέμεν* Clemens, *ἔσθειν* libri et testes cett. *ἐστὶ μετ᾽ αὐτοῖς* A⟨μ⟩ЄT'-ΑΥΤΟΙϹ) Plutarchus Mor. 964b Aelianus Hist. an. VI 50 Sextus Emp. Orion Anthologn. VI 10, *ἐστὶ μετ᾽ αὐτῶν* Clemens Porphyrius de abst. I 5 279 *ἀνθρώποις δὲ δέδωκε* Porphyrius Quaest. Hom. 280 *ἀγορεῦσαι* D, *ἀγορεύειν* libri cett. Pseudophocyl. 12 (Orac. Sib. II 64) 282 *ἐπὶ ὅρκον* I m^1 EN O m^1 283 *ἀασθῇ* Schaefer, ΑΑϹΘΗ A, *ἀάσθη* ΩΨbΦ, *ἀασθώς* D

τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
ῥηιδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει·
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
ῥηιδίη δὴ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα.

οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσῃ
φρασσάμενος, τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω·
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
ὃς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων

---

287 *μὲν γὰρ* Xenopho Mem. Socr. II 1, 20 (cum Stobaeo III c. 1 s. 205) Plutarchus Mor. 24 f Maximus Tyr. XXI 7 Aristides Quint. *περὶ μουσ.* III 7 p. 142 288 neglexit Philo de ebr. 150 *λείη* Xenopho (cum Stobaeo) Plato Leg. IV p. 718 E de Rep. II p. 364 C Plutarchus Mor. 77 d Aristides Quint., *ὀλίγη* libri 289 sq. *θεὸς προπάροιθεν ἔθηκεν* | *ἀθάνατος* Philo 290 ЄC ex ЄN rest. m^1 A, *ἐπ'* OQ Lucianus Herm. 2 Hypoth. Pseudisocratis *πρὸς Δημόν.* Stobaeus schol. Aphthon. II 604, 23 W. Eugenicus Trapez. ecphr. 6 291 *ἵκηαι* Xenopho (cum Stobaei codd. parte) Plato Leg. (vix Protag. p. 340 D) Philo Aristides Quint. 293. 295 sic coniunxit Zeno (Stoic. Fr. I 56 A.): *κεῖνος μὲν πανάριστος, ὃς εὖ εἰπόντι πίθηται·* | *ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς αὐτῷ πάντα νοήσῃ* 293 *κεῖνος* Zeno Aristides v. II 31 D. Clemens Paed. III 8, 42 schol. Clement. Paed. I 338, 19 St. Stobaeus III c. 4 s. 25 Olympiodorus in Plat. Alcib. prior. II 169 Cr. *μὲν*] *γὰρ* Olympiodorus *αὐτὸς* AK Aristoteles Eth. Nic. I 4 cum Aspasio p. 10 H. Eustratio p. 39 H. Heliodoro p. 7 H. Cicero pro Cluent. 31, 84 Livius XXII 29, 8 Basilius de leg. libr. gent. c. 1 Gregorius Naz. Epist. 11 Orion Anthologn. I 24 Et. gen. v. *ἀχρήιος* Tzetzes Chil. IX 727; *αὐτῷ* vel *αὐτῷ ΩΨ* (excepto K) *Φ* Zeno Aristides Clemens Ammonius v. *οὗτος* schol. Hom. Ven. B Townl. *B* 360 schol. Soph. Ant. 720 Stobaeus Eustathius Apostolius XII 51 i Anecd. Gr. I 115 Boiss. NOHCH A, *νοήσει ΩΨΦ* 294 neglexerunt Aristoteles cum commentatoribus Zeno Cicero Livius Aristides Clemens Basilius Gregorius Olympiodorus Eustathius Tzetzes Chil. Anecd. Gr. *τ' . . . ἐστὶν* Orion *ἀμείνων* AD Et. gen. 295 *δ' αὖ*] *γὰρ* L schol. Ven. B Townl. *N* 733 *πέπειθεν* Olympiodorus 296 *γε* Aristides, *τε* Clementis cod. P Stobaei cod. A

ἐν θυμῷ βάλληται, ὃ δ' αὖτ' ἀχρήιος ἀνήρ.

Ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς
ἐργάζευ, Πέρση, δῖον γένος, ὄφρα σε λιμὸς
ἐχθαίρῃ, φιλέῃ δέ σ' ἐυστέφανος Δημήτηρ
αἰδοίη, βιότου δὲ τεὴν πιμπλῆσι καλιήν·
λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.

τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὀργήν,
οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες· σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί.

ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε·
καὶ ἐργαζόμενοι πολὺ φίλτεροι ἀθανάτοισιν.
[ἔσσεαι ἠδὲ βροτοῖς· μάλα γὰρ στυγέουσιν ἀεργούς.]

ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.

μητ' αὐτὸς DK Aristoteles cum commentatoribus Livius Aristides Clemens Stobaeus Et. gen. Tzetzes Chil., μήθ' αὐτῷ ΩILMΦ Apostolius Anecd. Gr., μηθ' αὐτοῦ Tzetzes Epist. 60 νοέων Tzetzes Epist. 60

297 αὖ Ψ (excepto K) 300 ἐυπλόκαμος ex Hom. ε 125 Cornutus c. 28 301 πιμπλῆσι e corr. cod. Olomuc. I, VI 9, πίμπλησι ΩΨΦ 303 ὅς τις Stobaeus III c. 30 s. 5 ἀεργῶς ENQ 304 κοτούροις Didymus ὀργήν superscr. μ m[1] C, in ὁρμήν mut. D, ὀργήν schol Plat. Leg. X p. 901 A Stobaeus (v. l.) Et. mag. Tittm. v. κόθουρος; ὁρμήν Ωb Ψb Φ schol. Aristoph. Vesp. 1114 schol. Theocrit. I 304 305 κάματον νήποινον ἔδουσιν ex Hom. ξ 417 Stobaeus 309 καί τ' libri Stobaeus III c. 29 s. 3 ἐργαζόμενοι (ι m. rec. in ς mut. CFH) . . . φίλτεροι Ω excepto G, ἐργαζόμενος . . . φίλτερος GΨΦ Stobaeus 310 spurium om. ACD Stobaeus, habent (m. rec. marg. C) Ωb Ψb Φ, novit Moschopulus ἀεργόν v. recens in marg. C Moschopulus

εἰ δέ κε ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς
πλουτεῦντα· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.
δαίμονι δ' οἷος ἔησθα, τὸ ἐργάζεσθαι ἄμεινον,
εἴ κεν ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμὸν
ἐς ἔργον τρέψας μελετᾷς βίου, ὥς σε κελεύω.

αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει, 317
αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ, 319
αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν. 318

χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείνω.
εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
ἢ ὅ γ' ἀπὸ γλώσσης ληΐσσεται, οἷά τε πολλὰ
γίγνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
ἀνθρώπων, αἰδῶ δέ τ' ἀναιδείη κατοπάζῃ·
ῥεῖα δέ μιν μαυροῦσι θεοί, μινύθουσι δὲ οἶκον
ἀνέρι τῷ, παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.
ἶσον δ' ὅς θ' ἱκέτην ὅς τε ξεῖνον κακὸν ἔρξῃ,
ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνῃ
[κρυπταδίης εὐνῆς ἀλόχου, παρακαίρια ῥέζων,]

---

316 *εἰς* libri Et. gen. v. *μαυροῦσι* *στρέψας* Et. gen., *τρέψῃς* Peppmüller 317 et 318 ex Hom. illatos esse putavit Plutarchus 317 *κομίζειν* Stobaei III c. 29 s. 4 cod. A 319. 318 sic disposuit Peppmüller 319 *ἀνολβίην . . . ὄλβον* F (ex *ὄλβῳ* m[1] mut.) GΨbΦ Tzetzes schol. Epist. 8 Anecd. I 115 Boiss. (*ὄλβον* Tzetzes Chil. VI 750) 318 om. D (m. rec. add.) 320—336 desiderantur in C 320 *ἀρείω* E 325 sq. om. A 325 *ῥεῖα δέ* D, *ῥεῖά τε* (*τ* m[2] F) codd. cett. Et. Gud. v. *μαυρός* Anecd. Ox. I 264 Cr. *οἶκον* superscr. *οι* m[1] cod. Vindob. 242, *οἶκον* m[2] in *οἶκοι* mut. cod. Laur. conv. suppr. 158, *οἶκοι* ΩbΨΦ 326 *δέ τ'*] fuitne primitus *δέ Ϝ'* (= *Ϝοι*)? 327 *ἔρξῃ ερ* in ras. superscr. *γρ. ῥέξῃ* FG, *ἔρξει* IKLΦ praeter O, qui *ῥέξει* (*γρ. ἔρξει* in marg.) habet, *ἐέρξει* D, *ῥέξει* M, superscr. *η* m[1] H 328 *βαίνῃ* superscr. *οι* m[1] cod. Vindob. 242, *βαίνει* HLM (*ει* ex *οι* mut.) O, *βαίνοι* codd. cett. 329 proscripsit Straubel

ὅς τέ τευ ἀφραδίῃς ἀλιταίνητ' ὀρφανὰ τέκνα,
ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
νεικείῃ χαλεποῖσι καθαπτόμενος ἐπέεσσιν·
τῷ δ' ἦ τοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν
ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.

ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεσίφρονα θυμόν.
κὰδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν
ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν·
ἄλλοτε δὲ σπονδῇσι θύεσσί τε ἱλάσκεσθαι,
ἠμὲν ὅτ' εὐνάζῃ καὶ ὅτ' ἂν φάος ἱερὸν ἔλθῃ,
ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν,
ὄφρ' ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος.

τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι·
τὸν δὲ μάλιστα καλεῖν, ὅς τις σέθεν ἐγγύθι ναίει·
εἰ γάρ τοι καὶ χρῆμ' ἐγχώριον ἄλλο γένηται,
γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί.

πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ.

ἔμμορέ τοι τιμῆς, ὅς τ' ἔμμορε γείτονος ἐσθλοῦ.

οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.

εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι,

---

330 *δι' ἀφραδίης* vel *ἀφραδίην* Schoemann, *δι' ἀφραδίας*? Peppmüller *ἀλιταίνητ'* scripsi, *ἀλιταίνεται* libri Et. gen. v. *ἀλιταίνω* 331 *τοκῆα* Et. gen. cod. A 332 *τ' ἐπέεσσιν* Ωb 338 *δὲ* D, *δὴ* ΩΨbΦ *σπονδῇ θυέεσσί τε* Ψ praeter K 344 *τοι* om. A, *τι* DKM *πῆμ'* Et. gen. v. *πῆμα* cod. B *ἐγχώριον* libri Et. gen. Tzetzae schol., *ἐγκώμιον* Stephanus Byz. v. *κώμη* Procli schol. 347 ΤЄΙΜΗ<ς tab. Palmyrenae Assendelftianae I.v et VII.v *ὅς κ'* Stobaeus III c. 2 s. 12 ΑΙϹΘΛΟΥ tab. Palmyrenae

αὐτῷ τῷ μέτρῳ, καὶ λώιον, αἴ κε δύνηαι,
ὡς ἂν χρηίζων καὶ ἐς ὕστερον ἄρκιον εὕρῃς.

μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἀάτῃσιν.

τὸν φιλέοντα φιλεῖν, καὶ τῷ προσιόντι προσεῖναι.

καὶ δόμεν, ὅς κεν δῷ, καὶ μὴ δόμεν, ὅς κεν μὴ δῷ.

δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔ τις ἔδωκεν.

δὼς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.

ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, — ὅ γε καὶ μέγα δοίη, —
χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν·
ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,
καί τε σμικρὸν ἐόν, τό γ' ἐπάχνωσεν φίλον ἦτορ.

εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο
καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.

---

352 ΙϹΑΑΤΗϹΙ A, ἶσα ἄτῃσι ΩDKΦ Artemidorus Onir. IV 59 schol. Hom. Ven. B Townl. *B* 111 Stobaeus III c. 10 s. 12; ἶσ' ἄτῃσι I (super σ' aliquid eras.) LM 353 sq. proscripsit Plutarchus 353 προσεόντι Haupt προσεῖναι Epigr. gr. ed. Kaibel 65, 2 libri Apollonius v. εἶναι schol. Hom.; προσῖναι Schoemann, προσῖμεν Hartel 354 eiecit Gerhard 357 ὅ γε — δοίη signis parentheseos circumscripsi; ὅτε καὶ μέγα δώῃ Hermann, ὃ καὶ εἰ μέγα δώῃ vel ὅ γε κεἰ μέγα δ.? Schoemann, ὅ γε κεἰ μέγα δοίη Paley καὶ ΑΩ (κἂν e corr. H) DIΦ (eras. in Q) Stobaei III c. 10 s. 16 codd. pars; καὶ κἂν L, κἂν KM Apostolius VI 43 a δοίη AOQ, superscr. ω m. rec. N, δώῃ ΩΨEP Stobaei codd. iidem Apostolius 358 τέρπεθ' ἑὸν Φ 360 τό τ' M, τὸ δ' Hermann 361 καταθείης Philoponus in Aristot. de anim. p. 456 H. Stobaei III c. 29 s. 18 cod. M 362 το>ΥΘ'ΕΡΔ<οις A, τοῦθ' ἔρδοις CFGI Plutarchus Mor. p. 9 e et 76 c

ὃς δ' ἐπ' ἐόντι φέρει, ὃ δ' ἀλέξεται αἴθοπα λιμόν.

οὐδὲ τό γ' ἐν οἴκῳ κατακείμενον ἀνέρα κήδει.

οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφιν.

ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι, πῆμα δὲ θυμῷ
χρηίζειν ἀπεόντος, ἅ σε φράζεσθαι ἄνωγα.

ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι,
μεσσόθι φείδεσθαι· δειλὴ δ' ἐν πυθμένι φειδώ.

μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω.
καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.

πίστιες ἄρ τοι ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.

μὴ δὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω
αἱμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν.
ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅ γε φηλήτῃσιν.

μουνογενὴς δὲ πάις εἴη πατρώιον οἶκον
φερβέμεν· ὣς γὰρ πλοῦτος ἀέξεται ἐν μεγάροισιν.
γηραιὸς δὲ θάνοι ἕτερον παῖδ' ἐγκαταλείπων.

---

363 ἀλύξεται schol. Lycophr. 1396 368 τε Plutarchus Galb. 16, om. Mor. 701 d 369 δειλὴ λ m. rec. in ν mut. CM, δεινῇ P ἐνὶ FGIKMΦ Anecd. Gr. I 115 Boiss. 370—372 om. Ω praeter G ΨΦ, habet G et m. rec. marg. CFINO; agnovit Plutarchus, expulerunt quidam teste Proclo 372 πίστιες ἄρ τοι scripsi, πίστεις δ' ἄρα G, in v. adscr. CFN, πίστεις δ' ἄρ' in v. rec. IO 375 expunxit Plutarchus γυναιξὶ Steitz φιλήτῃσιν schol. Aeschyl. Agam. 497 Eustathius Hom. 194, 31 (ι superscr. L, η ex ι m² fact. I) 376 εἴη superscr. γρ. σώζει F, γρ. σώζοι I, m² σώζοι P; σώζοι M (in ras.) Procli Moschopuli schol., σώζει G 377 eiecit Hermann (σώζοι recepto) in v.

ῥεῖα δέ κεν πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον.
πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη.

σοὶ δ' εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶ ᾗσιν,
ὧδ' ἔρδειν, καὶ ἔργον ἐπ' ἔργῳ ἐργάζεσθαι.

Πληιάδων Ἀτλαγενέων ἐπιτελλομενάων
ἄρχεσθ' ἀμήτου, ἀρότοιο δὲ δυσομενάων.
αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
φαίνονται τὰ πρῶτα χαρασσομένοιο σιδήρου.
οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα,
πόντου κυμαίνοντος ἀπόπροθι, πίονα χῶρον
ναίουσιν· γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν,
γυμνὸν δ' ἀμάειν, εἴ χ' ὥρια πάντ' ἐθέλησθα
ἔργα κομίζεσθαι Δημήτερος· ὥς τοι ἕκαστα
ὥρι' ἀέξηται, μή πως τὰ μέταξε χατίζων
πτώσσῃς ἀλλοτρίους οἴκους καὶ μηδὲν ἀνύσσῃς.

---

378 offenderunt quidam sec. schol. θάνοι Hermann, θάνῃς ΩbO, θάνοις codd. cett. (superscr. η Q) σφέτερον Hermann
379 κε KLM, καὶ superscr. γρ. κεν I 381 φρεσὶν ᾗσιν Ψ, φρεσὶ σῇσιν ΩΦ 383 ἀτλαιγενέων Dionis Prus. II 9 cod. V Athenaei XI 489f cod. A, ἀτληγενέων schol. Ven. A Hom. Σ 486 (schol. Arat. 256), Ἀτλαγγενέων Goettling περιτελλομενάων Maximus Tyr. XXX 6 384 ἀμητοῦ CGD, ἀμήτοιο Dionis codd. pars schol. Ven. A Hom. l. c. Ven. B Townl. Τ 222 schol. Arat. 264 codd. MA, ἀμητοῖο Certaminis Hom. et Hes. v. 173 codex, Athenaei codd. AE, Dionis codd. pars; an ἀμήτοι'? τε Certamen 386 αὖθις DIENQ 389 ναιετάωσ' CENP, superscr. ου Q 391 ναίωσιν C, superscr. ου Q, γρ. ναίουσι marg. O, ναίωσ' ENP δὲ σπείρειν ΩΦ praeter Q 392 γυμνούς θ' ἀ. Certaminis cod. ἀμᾶσθαι G, e corr. FM ὅτ' ἂν ὥρια πάντα πέλωνται Certamen 393 τε Bentley, τὰ? Lennep 394 μέταξε Herodianus π. μον. λέξ. 46, 23 (II 951, 30 L.) schol. Vatic. Dion. Thrac. p. 278, 14 H.; μεταξὺ libri

ὡς καὶ νῦν ἐπ' ἔμ' ἦλθες· ἐγὼ δέ τοι οὐκ ἐπιδώσω
οὐδ' ἐπιμετρήσω· ἐργάζεο, νήπιε Πέρση,
ἔργα, τά τ' ἀνθρώποισι θεοὶ διετεκμήραντο,
μή ποτε σὺν παίδεσσι γυναικί τε θυμὸν ἀχεύων
ζητεύῃς βίοτον κατὰ γείτονας, οἱ δ' ἀμελῶσιν.
δὶς μὲν γὰρ καὶ τρὶς τάχα τεύξεαι· ἢν δ' ἔτι λυπῇς,
χρῆμα μὲν οὐ πρήξεις, σὺ δ' ἐτώσια πόλλ' ἀγορεύσεις·
ἀχρήιος δ' ἔσται ἐπέων νομός. ἀλλά σ' ἄνωγα
φράζεσθαι χρεέων τε λύσιν λιμοῦ τ' ἀλεωρήν.
οἶκον μὲν πρώτιστα γυναῖκά τε βοῦν τ' ἀροτῆρα,
[κτητήν, οὐ γαμετήν, ἥ τις καὶ βουσὶν ἕποιτο,]
χρήματα δ' ἐν οἴκῳ πάντ' ἄρμενα ποιήσασθαι,
μὴ σὺ μὲν αἰτῇς ἄλλον, ὁ δ' ἀρνῆται, σὺ δὲ τητᾷ,
ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δὲ τὸ ἔργον.
μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τε ἔνηφιν·
οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιὴν
οὐδ' ἀναβαλλόμενος· μελέτη δὲ τὸ ἔργον ὀφέλλει·
αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἀάτῃσι παλαίει.
ἦμος δὴ λήγει μένος ὀξέος ἠελίοιο
καύματος ἰδαλίμου, μετοπωρινὸν ὀμβρήσαντος

397 *ἐργάζεο* Nauck, *ἐργάζευ* libri Hypoth. Pseudisocr. *πρὸς Δημόν.* 401 *δέ τι* Ψ bE, m² in ras. D 402 *ἀγορεύεις* CF 403 *ἀχρήιος* KL, *ἀχρεῖος* ΩDIMΦ Theodorus Gazes Anecd. Gr. V 405 Boiss. 404 *χρεέων* scripsi, *χρειῶν* libri, *χρειέων* Fick 405 *τ'* om. DIP 406 neglexit Aristoteles Polit. I 1 auctor Oecon. I 2 407 *ἐν* Bentley, *ἐνὶ* O, *εἰν* codd. cett. 409 *τὸ* Peppmüller, *τοι* codd., *τε* Bentley 410 *ἔς τε ἔνηφι* C (*εἴς*) schol. Rav. Aristoph. Ach. 172 Theodoretus Graec. adf. cur. V p. 819 Sch. Stobaei II c. 7 s. 11 cod. F (*ἔνιφι*), cf. Symb. Prag. 179; *ἔς τ' ἔνηφι* Athenaeus XIV 653 d (cod. A) Et. gen. v. *καλιά* (cod. A) Stobaei cod. P (*ἔνιφι*); *ἔνηφι* Athenaeus III 100 b Pollux I 66; *ἔστε ἔννηφι* D, *ἔς τ' ἔννηφι(ν)* ΩbΨbΦ testes cett. 412 *τὸ* Peppmüller, *τοι* codd. testes, *τε* Bentley 413 *ἀάτῃσι* Nauck, *ἄτῃσι* codd. testes 415 *μετοπωρινοῦ* Et. gen. v. *ἰδαλίμου*

Ζηνὸς ἐρισθενέος, μετὰ δὲ τρέπεται βρότεος χρὼς
πολλὸν ἐλαφρότερος· δὴ γὰρ τότε Σείριος ἀστὴρ
βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ·
τῆμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ
ὕλη, φύλλα δ' ἔραζε χέει, πτόρθοιό τε λήγει·
τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥρια ἔργα.
ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν,
ἄξονα δ' ἑπταπόδην· μάλα γάρ νύ τοι ἄρμενον οὕτω·
εἰ δέ κεν ὀκταπόδην, ἀπὸ καὶ σφῦράν κε τάμοιο.
τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἁμάξῃ.
πόλλ' ἐπικαμπύλα κᾶλα· φέρειν δὲ γύην, ὅτ' ἂν εὕρῃς,
ἐς οἶκον, κατ' ὄρος διζήμενος ἢ κατ' ἄρουραν,
πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν,
εὖτ' ἂν Ἀθηναίης δμῷος ἐν ἐλύματι πήξας
γόμφοισιν πελάσας προσαρήρεται ἱστοβοῆι.
δοιὰ δὲ θέσθαι ἄροτρα, πονησάμενος κατὰ οἶκον,
αὐτόγυον καὶ πηκτόν, ἐπεὶ πολὺ λώιον οὕτω·
εἴ χ' ἕτερον ἄξαις, ἕτερόν κ' ἐπὶ βουσὶ βάλοιο.
δάφνης δ' ἢ πτελέης ἀκιώτατοι ἱστοβοῆες,
δρυὸς ἔλυμα, γύης πρίνου· βόε δ' ἐνναετήρω
ἄρσενε κεκτῆσθαι, τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν,
ἥβης μέτρον ἔχοντε· τὼ ἐργάζεσθαι ἀρίστω.

---

422 ὥρια ἔργα Φ, ὥριον ἔργον ΩΨ schol. Eurip. Andr. 1164 424 θ' IKMΦ 425 καὶ Triclinius, κε(ν) codd. κε om. Ωb, τε EN 431 προσαρήσεται FGΦ 434 ἄξαις cod. Paris. 2708, γ' ἄξαις ΩΨΦ κ'] γ' HDEOP, ' N, δ' Q 435—453 desunt in C 435 δ' om. FHOP Et. gen. v. ἀκιώτατον ἀκιρώτατοι quidam teste Et. mag. 436 γύης πρίνου Schaefer, γύην πρίνου d'Orville, πρίνου δὲ γύης Φ, πρίνου δὲ γύην ΩbΨ schol. Aristoph. Ach. 180 Suidas v. πρίνινοι ἄνθρακες Et. gen. v. γύης ἐνναετῆρε D m[1] (ἐνναετήρω m[2])

οὐκ ἂν τώ γ' ἐρίσαντε ἐν αὔλακι κὰμ μὲν ἄροτρον
ἄξειαν, τὸ δὲ ἔργον ἐτώσιον αὖθι λίποιεν.
τοῖς δ' ἅμα τεσσαρακονταετὴς αἰζηὸς ἕποιτο
ἄρτον δειπνήσας τετράτρυφον, ὀκτάβλωμον,
ὃς ἔργου μελετῶν ἰθεῖάν κ' αὔλακ' ἐλαύνοι,
μηκέτι παπταίνων μεθ' ὁμήλικας, ἀλλ' ἐπὶ ἔργῳ
θυμὸν ἔχων· τοῦ δ' οὔ τι νεώτερος ἄλλος ἀμείνων
σπέρματα δάσσασθαι καὶ ἐπισπορίην ἀλέασθαι.
[κουρότερος γὰρ ἀνὴρ μεθ' ὁμήλικας ἐπτοίηται.]
    φράζεσθαι δ', εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς
ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης·
ἥ τ' ἀρότοιό τε σῆμα φέρει καὶ χείματος ὥρην
δεικνύει ὀμβρηροῦ· κραδίην δ' ἔδακ' ἀνδρὸς ἀβούτεω·
δὴ τότε χορτάζειν ἕλικας βόας ἔνδον ἐόντας·
ῥηίδιον γὰρ ἔπος εἰπεῖν· βόε δὸς καὶ ἄμαξαν·
ῥηίδιον δ' ἀπανήνασθαι· πάρα ἔργα βόεσσιν.
φησὶ δ' ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἄμαξαν,
νήπιος, οὐδὲ τὸ οἶδ'· ἑκατὸν δέ τε δούρατ' ἀμάξης,
τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκήια θέσθαι.
    εὖτ' ἂν δὲ πρώτιστ' ἄροτος θνητοῖσι φανήῃ,
δὴ τότ' ἐφορμηθῆναι ὁμῶς δμῶές τε καὶ αὐτὸς
αὔην καὶ διερὴν ἀρόων ἀρότοιο καθ' ὥρην,

---

439 ἐρίσαντ' ἐν ΩbM, ἐρίσαντες ἐν I Et. mag. Gud. v. ζυγομαχεῖν 441 δ' om. schol. Ven. B Townl. Hom. Ν 484 443 ὃς Bentley, ὅς κ' codd. ἰθεῖάν κ' I, ἰθεῖαν libri cett. 447 recentiorem esse censuit Peppmüller 448 φράζεο δ' αὖτε, ἐὰν γεράνων φωνῆς schol. Arat. 1012 cod. A 452 βοῦς M ἐούσας m. rec. in ἐόντας mut. EN, γρ. ἐόντας P 453 γὰρ] τὸ? Lennep, δὲ Paley, γε? Schoemann 454 πάρα Lennep, πάρα δ' libri Et. gen. v. ῥηίδιον 455 πήξεσθαι Stahl 456 τὸ CH Et. gen. v. ἄμαξα, τό γ' Ψ, τόδ' F (δ' in ras.) GΦ 457 τ' ἐχέμεν Φ (praeter Q) 458 δὴ KLΦ φανήῃ Heyne, φανείη codd. 460 ἀρόειν Herwerden

πρωὶ μάλα σπεύδων, ἵνα τοι πλήθωσιν ἄρουραι.
ἔαρι πολεῖν· θέρεος δὲ νεωμένη οὔ σ' ἀπατήσει.
νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν·
νειὸς ἀλεξιάρη παίδων εὐκηλήτειρα.
εὔχεσθαι δὲ Διὶ χθονίῳ Δημήτερί θ' ἁγνῇ,
ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτήν,
ἀρχόμενος τὰ πρῶτ' ἀρότου, ὅτ' ἂν ἄκρον ἐχέτλης
χειρὶ λαβὼν ὅρπηκα βοῶν ἐπὶ νῶτον ἵκηαι
ἔνδρυον ἑλκόντων μεσάβων. ὁ δὲ τυτθὸς ὄπισθε
δμῷος ἔχων μακέλην πόνον ὀρνίθεσσι τιθείη
σπέρμα κατακρύπτων· εὐθημοσύνη γὰρ ἀρίστη
θνητοῖς ἀνθρώποις, κακοθημοσύνη δὲ κακίστη.
ὧδέ κεν ἁδροσύνῃ στάχυες νεύοιεν ἔραζε,
εἰ τέλος αὐτὸς ὄπισθεν Ὀλύμπιος ἐσθλὸν ὀπάζοι.
ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια· καί σε ἔολπα
γηθήσειν βιότου αἱρεύμενον ἔνδον ἐόντος.
εὐοχθέων δ' ἵξεαι πολιὸν ἔαρ, οὐδὲ πρὸς ἄλλους
αὐγάσεαι· σέο δ' ἄλλος ἀνὴρ κεχρημένος ἔσται.
εἰ δέ κεν ἠελίοιο τροπῇς ἀρόῳς χθόνα δῖαν,
ἥμενος ἀμήσεις ὀλίγον περὶ χειρὸς ἐέργων,
ἀντία δεσμεύων κεκονιμένος, οὐ μάλα χαίρων,
οἴσεις δ' ἐν φορμῷ· παῦροι δέ σε θηήσονται.
ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο,
ἀργαλέος δ' ἄνδρεσσι καταθνητοῖσι νοῆσαι.
εἰ δέ κεν ὄψ' ἀρόσῃς, τόδε κέν τοι φάρμακον εἴη·

---

462 *ἔαρι* Pollux I 223, *ἦρι* K, *εἴαρι* libri cett. 465 *τ' αἰνῇ* schol. Rav. Aristoph. Plut. 727 468 *ὅρπηκι* Brunck 469 *τυτθὸν* Schaefer 476 *βιότου ἐρεύμενον* C (*ε* e corr.) N (*ου* in *οιο* mut., *ἐρ* in ras.) PQ, *βιότοιο ἐρεύμενον* F (*ιο* et *ἐ* in ras.) GΨbO 479 *ἀρόῳς* P, cf. Ehrlich Rh. Mus. LXIII p. 120, *ἀρόως* ΩDIN, superscr. *οις* L, superscr. *η* Q, *ω* in *η* mut. m. rec. E, *ἀρόῃς* KMO

ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι
τὸ πρῶτον, τέρπει δὲ βροτοὺς ἐπ' ἀπείρονα γαῖαν,
τῆμος Ζεὺς ὕοι τρίτῳ ἤματι μηδ' ἀπολήγοι,
μήτ' ἄρ' ὑπερβάλλων βοὸς ὁπλὴν μήτ' ἀπολείπων·
οὕτω κ' ὀψαρότης πρωιηρότῃ ἰσοφαρίζοι.
ἐν θυμῷ δ' εὖ πάντα φυλάσσεο· μηδέ σε λήθοι
μήτ' ἔαρ γιγνόμενον πολιὸν μήθ' ὥριος ὄμβρος.

πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπαλέα λέσχην
ὥρῃ χειμερίῃ, ὁπότε κρύος ἀνέρα ἔργων
ἰσχάνει, ἔνθα κ' ἄοκνος ἀνὴρ μέγα οἶκον ὀφέλλοι,
μή σε κακοῦ χειμῶνος ἀμηχανίη καταμάρψῃ
σὺν πενίῃ, λεπτῇ δὲ παχὺν πόδα χειρὶ πιέζῃς.
πολλὰ δ' ἀεργὸς ἀνήρ, κενεὴν ἐπὶ ἐλπίδα μίμνων,
χρηίζων βιότοιο, κακὰ προσελέξατο θυμῷ.

ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη.

δείκνυε δὲ δμώεσσι θέρευς ἔτι μέσσου ἐόντος·
οὐκ αἰεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς.

Μῆνα δὲ Ληναιῶνα, κάκ' ἤματα, βουδόρα πάντα,

---

490 πρωιηρότῃ Kirchhoff, προηρότῃ CD (η in ras. D) F m[1] (πρωταρότῃ m[3]); πρωτηρότῃ GIKL Ammonius v. ὀψέ, προτηρότῃ (τ in ras.) N, πρωταρότῃ HMQ, προάρηρότῃ E, προαρηρότη O, superscr. ταρότῃ m. al. P τ' ἰσοφαρίζοι C, ἀντιφερίζοι Capelle 491 δ' εὖ libri, δὲ Et. gen. v. ἀλέα cod. A 494 ἀνέρα Et. mag. (s. v.) codex Is. Vossii (V[a]), ἀνέρας libri Et. gen. s. v. εἶργον GHENQ, ἔργων ε ex ει m[2] fact. O, γρ. εἶργον superscr. F 495 ἴσχει Et. gen. ὀφέλλοι Brunck, ὀφέλλει libri 496 sq. om. C (m. rec. in marg. imo additi) Et. gen. (cod. A) 501 ᾧ Et. gen. (cod. A) ἐστίν Peppmüller 504 Boeoti poetae esse negavit Goettling Βουκάτιον, κακά τ' Steitz βουδόρα schol. Townl. Hom. *P* 550 Et. mag. Tittm. v. Ληναιών, βούδορα libri Et. gen. v. λιαρόν, utrumque novit Eustathius Hom. 1117, 53

τοῦτον ἀλεύασθαι, καὶ πηγάδας, αἵ τ' ἐπὶ γαῖαν
πνεύσαντος Βορέαο δυσηλεγέες τελέθουσιν,
ὅς τε διὰ Θρήκης ἱπποτρόφου εὐρέι πόντῳ
ἐμπνεύσας ὤρινε· μέμυκε δὲ γαῖα καὶ ὕλη·
πολλὰς δὲ δρῦς ὑψικόμους ἐλάτας τε παχείας
οὔρεος ἐν βήσσης πιλνᾷ χθονὶ πουλυβοτείρῃ
ἐμπίπτων, καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη.
θῆρες δὲ φρίσσουσ', οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο,
τῶν καὶ λάχνῃ δέρμα κατάσκιον· ἀλλά νυ καὶ τῶν
ψυχρὸς ἐὼν διάησι δασυστέρνων περ ἐόντων.
καί τε διὰ ῥινοῦ βοὸς ἔρχεται, οὐδέ μιν ἴσχει·
καί τε δι' αἶγα ἄησι τανύτριχα· πώεα δ' οὔ τι,
οὕνεκ' ἐπηεταναὶ τρίχες αὐτῶν, οὐ διάησι
ἲς ἀνέμου Βορέω· τροχαλὸν δὲ γέροντα τίθησιν.
καὶ διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν,
ἥ τε δόμων ἔντοσθε φίλῃ παρὰ μητέρι μίμνει
οὔ πω ἔργα ἰδυῖα πολυχρύσου Ἀφροδίτης·
εὖ τε λοεσσαμένη τέρενα χρόα καὶ λίπ' ἐλαίῳ
χρισαμένη μυχίη καταλέξεται ἔνδοθι οἴκου
ἤματι χειμερίῳ, ὅτ' ἀνόστεος ὃν πόδα τένδει
ἔν τ' ἀπύρῳ οἴκῳ καὶ ἤθεσι λευγαλέοισιν.

---

510 *πίλναι* Ahrens, *πέλασε* v. Leeuwen 518 *Βορέω* scripsi, *βορέου* ΩDIKΦ, *βορέαο* LM *τε* Φ 520 *φίλῃ* — *μίμνει* CFGΨ, *μίμνει* (*μίμνῃ* H) *παρὰ μητέρι κεδνῇ* HΦ, *γρ. φίλῃ* in marg. OP; *μένει παρὰ μητέρι κεδνῇ* in altera recensione fuisse censet Peppmüller 521 *ἔργ' εἰδυῖα* codd., corr. Lennep 522 *εὖ τε* FGE, *εὖ τὲ* e corr. cod. Olomuc. I, VI 9, *εὖτε* libri cett. 523 *μυχίη* NO Proclus, superscr. *ν* P, *νυχίη* e corr. E, *νυχίη* ΩΨQ Moschopulus *ἔνδοθι οἴκου* EOPL, *ἔνδοθεν* superscr. *ι* Q, *ν* m. rec. N, *ἔνδοθεν* ΩΨ praeter L 524 *τένθει* quidam teste schol. Ven. Aristoph. Pac. 109 (Suid. v. *τένθαις*) cf. schol. 'Procli', *τέμνει* Antigonus Caryst. XXI 525 *καὶ ἐν* HIKLΦ Plutarchus Mor. 965 f schol. Procli Et. gen. v. *ἀνόστεος*

οὐδέ οἱ ἠέλιος δείκνυ νομὸν ὁρμηθῆναι·
ἀλλ' ἐπὶ κυανέων ἀνδρῶν δῆμόν τε πόλιν τε
στρωφᾶται, βράδιον δὲ Πανελλήνεσσι φαείνει.
καὶ τότε δὴ κεραοὶ καὶ νήκεροι ὑληκοῖται
λυγρὸν μυλιόωντες ἀνὰ δρία βησσήεντα
φεύγουσιν· καὶ πᾶσιν ἐνὶ φρεσὶ τοῦτο μέμηλεν,
ὡς σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἔχωσι
καὶ γλάφυ πετρῆεν· τότε δὴ τρίποδι βροτοὶ ἶσοι,
οὗ τ' ἐπὶ νῶτα ἔαγε, κάρη δ' εἰς οὖδας ὁρᾶται,
τῷ ἴκελοι φοιτῶσιν, ἀλευόμενοι νίφα λευκήν.

καὶ τότε ἕσσασθαι ἔρυμα χροός, ὥς σε κελεύω,
χλαῖνάν τε μαλακὴν καὶ τερμιόεντα χιτῶνα·
στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι·
τὴν περιέσσασθαι, ἵνα τοι τρίχες ἀτρεμέωσι,
μηδ' ὀρθαὶ φρίσσωσιν ἀειρόμεναι κατὰ σῶμα·
ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο
ἄρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσσας.
πρωτογόνων δ' ἐρίφων, ὁπότ' ἂν κρύος ὥριον ἔλθῃ,
δέρματα συρράπτειν νεύρῳ βοός, ὄφρ' ἐπὶ νώτῳ
ὑετοῦ ἀμφιβάλῃ ἀλέην· κεφαλῆφι δ' ὕπερθεν
πῖλον ἔχειν ἀσκητόν, ἵν' οὔατα μὴ καταδεύῃ·
ψυχρὴ γάρ τ' ἠὼς πέλεται Βορέαο πεσόντος·
ἠώιος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος

---

526 *οὐδέ οἱ* Hermann, *οὐ γάρ οἱ* libri testes 528 *παρ' Ἑλλήνεσσι* Proclus? 529 *νηκέρωι* Fick 530 *μαλκιόωντες* (*μαλκίοντες* Cobet) Crates 532 *ὡς . . ἔχωσι* Peppmüller, *οἳ . . ἔχουσι* codd. 533 *τοὶ δὲ* Hermann *βροτοὶ* Wachler, *βροτῷ* libri Et. gen. v. *μυλιόωντες* Tittm. v. *τρίπους* 534 *ἔηγε* Schulze 535 *ἀλευάμενοι* CF m[1] (*α* in *ο* mut) Choeroboscus I 141, 13 H. Anecd. Ox. I 174 Cr. Et. mag. v. *νίφα* *πολλήν* Et. gen. v. *ἀλίαστος* 543 *ὁπότε κρύος* IKLΦ 544 *σ*>ΥΝΡΡΑ<*πτειν* A 545 *κεφαλῇ δ' ἐφύπερθεν* MQ

ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις·
ὅς τε ἀρυσσάμενος ποταμῶν ἄπο αἰεναόντων,
ὑψοῦ ὑπὲρ γαίης ἀρθεὶς ἀνέμοιο θυέλλῃ
ἄλλοτε μέν θ' ὕει ποτὶ ἕσπερον, ἄλλοτ' ἄησι
πυκνὰ Θρηικίου Βορέω νέφεα κλονέοντος.
τὸν φθάμενος ἔργον τελέσας οἶκόνδε νέεσθαι,
μή ποτέ σ' οὐρανόθεν σκοτόεν νέφος ἀμφικαλύψῃ,
χρῶτα δὲ μυδαλέον θήῃ κατά θ' εἵματα δεύσῃ.
ἀλλ' ὑπαλεύασθαι· μεὶς γὰρ χαλεπώτατος οὗτος
χειμέριος, χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις.
τῆμος τὤμισυ βουσίν, ἐπ' ἀνέρι δὲ πλέον εἴη
ἁρμαλιῆς· μακραὶ γὰρ ἐπίρροθοι εὐφρόναι εἰσίν.

[*ταῦτα φυλασσόμενος τετελεσμένον εἰς ἐνιαυτὸν*
ἰσοῦσθαι νύκτας τε καὶ ἤματα, εἰς ὅ κεν αὖτις
γῆ πάντων μήτηρ καρπὸν σύμμικτον ἐνείκῃ.]

Εὖτ' ἂν δ' ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο
χειμέρι' ἐκτελέσῃ Ζεὺς ἤματα, δή ῥα τότ' ἀστὴρ
Ἀρκτοῦρος προλιπὼν ἱερὸν ῥόον Ὠκεανοῖο
πρῶτον παμφαίνων ἐπιτέλλεται ἀκροκνέφαιος.
τὸν δὲ μέτ' ὀρθογόη Πανδιονὶς ὦρτο χελιδὼν
ἐς φάος ἀνθρώποις, ἔαρος νέον ἱσταμένοιο.
τὴν φθάμενος οἴνας περιταμνέμεν· ὣς γὰρ ἄμεινον.

---

549 *ὀμβροφόρος* Seleucus *μερόπων* e Maximo 543 Ruhnken 550 *ὅς ῥά τ'* Peppmüller 553 *Βορέω* scripsi, *βορέου* ΩDKMΦ, *βορέαο* IL 556 *τε* HΨbQ *θήῃ* H, *θείῃ* codd. cett. *κατὰ δὲ* D *δεύῃ* (*η* e corr.) D 559 *ἐπ' — πλέον* Brunck, *ἐπὶ δ' ἀνέρι τὸ πλέον* C, *ἐπὶ δ' ἀνέρι πλέον* ΩbΨQ Et. gen. v. *ἁρμαλιά* cod. A (*δὲ* ante *πλέον* cod. B), *ἐπὶ δ' ἀνέρι πλεῖον* Φ praeter Q, *ἐπὶ δ' ἀνέρι καὶ πλέον* Et. gen. schol. 561—563 proscripsit Plutarchus 568 *ὀρθρογόη* IKM schol. vetus Suidas s. v., *ὀρθοβόη* quidam teste Proclo 570 *περιτεμνέμεν* Φ Lex. Vindob. 161 N.

ἀλλ' ὁπότ' ἂν φερέοικος ἀπὸ χθονὸς ἂμ φυτὰ βαίνῃ
Πληιάδας φεύγων, τότε δὴ σκάφος οὐκέτι οἰνέων·
ἀλλ' ἅρπας τε χαρασσέμεναι καὶ δμῶας ἐγείρειν·
φεύγειν δὲ σκιεροὺς θώκους καὶ ἐπ' ἠόα κοῖτον
ὥρῃ ἐν ἀμήτου, ὅτε τ' ἠέλιος χρόα κάρφει.
τημοῦτος σπεύδειν καὶ οἴκαδε καρπὸν ἀγινεῖν
ὄρθρου ἀνιστάμενος, ἵνα τοι βίος ἄρκιος εἴῃ.
ἠὼς γὰρ ἔργοιο τρίτην ἀπομείρεται αἶσαν,
ἠώς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου,
ἠώς, ἥ τε φανεῖσα πολέας ἐπέβησε κελεύθου
ἀνθρώπους πολλοῖσί τ' ἐπὶ ζυγὰ βουσὶ τίθησιν.

ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ καὶ ἠχέτα τέττιξ
δενδρέῳ ἐφεζόμενος λιγυρὴν καταχεύετ' ἀοιδὴν
πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματώδεος ὥρῃ,
τῆμος πιόταταί τ' αἶγες καὶ οἶνος ἄριστος,
μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ τοι ἄνδρες
εἰσίν, ἐπεὶ κεφαλὴν καὶ γούνατα Σείριος ἄζει,
αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος· ἀλλὰ τότ' ἤδη
εἴη πετραίη τε σκιὴ καὶ βίβλινος οἶνος,
μάζα τ' ἀμολγαίη γάλα τ' αἰγῶν σβεννυμενάων,
καὶ βοὸς ὑλοφάγοιο κρέας μή πω τετοκυίης
πρωτογόνων τ' ἐρίφων· ἐπὶ δ' αἴθοπα πινέμεν οἶνον,

574 *ἠόα* Gerhard, *ἠῶ* libri 575 *ἀμητοῦ* DKM 576 *ἀγείρειν* HΨNQ 577 *εἴῃ* Schaefer, *ἤῃ* Weber 578 *γὰρ* Lennep, *γάρ τ'* libri *ἀπο///μείρεται* C, *ἀπο*$^{\alpha}$*μοίρεται* P, *ἀπαμείρεται* Eustathius Hom. 1243, 25 (947, 9) et 1766, 54 579 *καὶ*] *τε* Bentley 581 *δ'* Ψb Et. gen. v. *ἕσπερος* cod. A^{II} 583 *ἐπεχεύατ'* I, *ἐπιχεύετ'* Gregorius Cor. p. 62 adn. 98 Sch. 588 *δὲ χρὼς* Hermann *τοι ἡδὺ* | *εἴη πετραίη συκέη* Nauck 589 *τε* om. IPQ *βύβλινος* GHIKM, *Βύβλινος* Proclus Eustathius Hom. 871, 48, *Βίβλινος* Et. gen. v. *μάζα*

ἐν σκιῇ ἑζόμενον, κεκορημένον ἦτορ ἐδωδῆς,
ἀντίον ἀκραέος Ζεφύρου τρέψαντα πρόσωπα
κρήνης τ' αἰενάου καὶ ἀπορρύτου, ἥ τ' ἀθόλωτος·
τρὶς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.

δμωσὶ δ' ἐποτρύνειν Δημήτερος ἱερὸν ἀκτὴν
δινέμεν, εὖτ' ἂν πρῶτα φανῇ σθένος Ὠαρίωνος,
χώρῳ ἐν εὐαέι καὶ ἐυτροχάλῳ ἐν ἀλωῇ.
μέτρῳ δ' εὖ κομίσασθαι ἐν ἄγγεσιν· αὐτὰρ ἐπὴν δὴ
πάντα βίον κατάθηαι ἐπάρμενον ἔνδοθι οἴκου,
θῆτά τ' ἄοικον ποιεῖσθαι καὶ ἄτεκνον ἔριθον
δίζησθαι κέλομαι· χαλεπὴ δ' ὑπόπορτις ἔριθος·
καὶ κύνα καρχαρόδοντα κομεῖν, — μὴ φείδεο σίτου, —
μή ποτέ σ' ἡμερόκοιτος ἀνὴρ ἀπὸ χρήμαθ' ἕληται.
χόρτον δ' ἐσκομίσαι καὶ συρφετόν, ὄφρα τοι εἴη
βουσὶ καὶ ἡμιόνοισιν ἐπηετανόν. αὐτὰρ ἔπειτα
δμῶας ἀναψῦξαι φίλα γούνατα καὶ βόε λῦσαι.

εὖτ' ἂν δ' Ὠαρίων καὶ Σείριος ἐς μέσον ἔλθῃ
οὐρανόν, Ἀρκτοῦρον δὲ ἴδῃ ῥοδοδάκτυλος Ἠώς,
ὦ Πέρση, τότε πάντας ἀποδρέπεν οἴκαδε βότρυς·

---

594 *ἀκραέος* in *εὐκραέος* mut. CI, *ἀ* m. rec. in ras. E, *εὐκραέος* F (*εὐ* m. al. in ras.) GHKLMQ *πρόσω* (superscr. π) D, *πρόσωπον* HΨb (α m. rec. superscr. M) Q 595 *τ'* om. Plutarchus Mor. 725 d Athenaeus II 41 e *αἰενάου* IM, *ἀενάου* (*ἀεννάου*) codd. cett. 596 *οἶνον* Photius v. *τρία καὶ δύο* 598 *Ὠαρίωνος* Nauck, *ὠρίωνος* libri 601 *ἔνδοθι* HΦ (superscr. *εν* Q), *ἔνδοθεν* CFGΨ 603 *δίζησθαι* O. Schneider, *δίζεσθαι* codd. 606 *τ'* ΩDIΦ *εἴη* Hermann, *ἤῃ* Weber 609 *Ὠαρίων* Nauck, *ὠρίων* codd. 610 *δὲ Ϝίδῃ* Paley, *δ' ἐσίδῃ* Ω (*τ'* H) DIMEN, superscr. *οι* P, *δ' ἐσίδοι* KLO, superscr. *η* Q 611 *ἀποδρέπεν* cod. Ambros. C 222 inf. Vindob. 242, cf. Wien. St. V 192; *ἀποδρέπειν* ΩENP, ex *ἀπόδρεπε* m² factum D, *ἀπόδρεπε* IKLQ, e corr. MO

δεῖξαι δ' ἠελίῳ δέκα τ' ἤματα καὶ δέκα νύκτας,
πέντε δὲ συσκιάσαι, ἕκτῳ δ' εἰς ἄγγε' ἀφύσσαι
δῶρα Διωνύσου πολυγηθέος. αὐτὰρ ἐπὴν δὴ
Πληιάδες θ' Ὑάδες τε τό τε σθένος Ὠαρίωνος
δύνωσιν, τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
ὡραίου· πλειὼν δὲ κατὰ χθονὸς ἄρμενος εἶσιν.

Εἰ δέ σε ναυτιλίης δυσπεμφέλου ἵμερος αἱρεῖ,
εὖτ' ἂν Πληιάδες σθένος ὄβριμον Ὠαρίωνος
φεύγουσαι πίπτωσιν ἐς ἠεροειδέα πόντον,
δὴ τότε παντοίων ἀνέμων θυίουσιν ἀῆται·
καὶ τότε μηκέτι νῆας ἔχειν ἐνὶ οἴνοπι πόντῳ,
γῆν ἐργάζεσθαι μεμνημένος, ὥς σε κελεύω.
νῆα δ' ἐπ' ἠπείρου ἐρύσαι πυκάσαι τε λίθοισι
πάντοθεν, ὄφρ' ἴσχωσ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
χείμαρον ἐξερύσας, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος.
ὅπλα δ' ἐπάρμενα πάντα τεῷ ἐγκάτθεο οἴκῳ
εὐκόσμως στολίσας νηὸς πτερὰ ποντοπόροιο·
πηδάλιον δ' ἐνεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι.
αὐτὸς δ' ὡραῖον μίμνειν πλόον, εἰς ὅ κεν ἔλθῃ·
καὶ τότε νῆα θοὴν ἅλαδ' ἑλκέμεν, ἐν δέ τε φόρτον
ἄρμενον ἐντύνασθαι, ἵν' οἴκαδε κέρδος ἄρηαι,
ὥς περ ἐμός τε πατὴρ καὶ σός, μέγα νήπιε Πέρση,
πλωίζεσκ' ἐν νηυσί, βίου κεχρημένος ἐσθλοῦ·
ὅς ποτε καὶ τεῖδ' ἦλθε, πολὺν διὰ πόντον ἀνύσσας,

---

615 Ὠαρίωνος Nauck, ὠρίωνος codd. 617 εἶσιν Haupt, εἴη codd. Et. gen. v. πλειών 619 Ὠαρίωνος Nauck, ὠρίωνος codd. 621 θύουσιν codd. 623 γῆν cod. Ambros. C 222 inf., γῆν δ' ΩΨΦ 627 ἐνικάτθεο HQ, ἐνὶ κάτθεο Ψb 632 ἐντύνασθ', ἵνα Heinrich ἄγηαι Peppmüller 635 τεῖδ' Bergk (cf. Procli schol.), τῆδ' codd. βαθὺν HQ Proclus Theognis 511

Κύμην Αἰολίδα προλιπών, ἐν νηὶ μελαίνῃ·
οὐκ ἄφενος φεύγων οὐδὲ πλοῦτόν τε καὶ ὄλβον,
ἀλλὰ κακὴν πενίην, τὴν Ζεὺς ἄνδρεσσι δίδωσιν.
νάσσατο δ' ἄγχ' Ἑλικῶνος ὀιζυρῇ ἐνὶ κώμῃ,
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.
τύνη δ', ὦ Πέρση, ἔργων μεμνημένος εἶναι
ὡραίων πάντων, περὶ ναυτιλίης δὲ μάλιστα.
νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι.
μείζων μὲν φόρτος, μεῖζον δ' ἐπὶ κέρδεϊ κέρδος
ἔσσεται, εἴ κ' ἄνεμοί γε κακὰς ἀπέχωσιν ἀήτας.
εὖτ' ἂν ἐπ' ἐμπορίην τρέψας ἀεσίφρονα θυμὸν
βούληαι χρέα τε προφυγεῖν καὶ λιμὸν ἀτερπέα,
δείξω δή τοι μέτρα πολυφλοίσβοιο θαλάσσης,
οὔτε τι ναυτιλίης σεσοφισμένος οὔτε τι νηῶν.
οὐ γάρ πώ ποτε νηί γ' ἐπέπλων εὐρέα πόντον,
εἰ μὴ ἐς Εὔβοιαν ἐξ Αὐλίδος, ᾗ ποτ' Ἀχαιοὶ
μείναντες χειμῶνα πολὺν σὺν λαὸν ἄγειραν
Ἑλλάδος ἐξ ἱερῆς Τροίην ἐς καλλιγύναικα.

[ἔνθα δ' ἐγὼν ἐπ' ἄεθλα δαΐφρονος Ἀμφιδάμαντος
Χαλκίδα τ' εἰς ἐπέρησα· τὰ δὲ προπεφραδμένα πολλὰ

---

637 *ἄφενον* superscr. *οσ* m² F, *ἄφενον* G 639 *εἴσατο* Certamen 2 640 *θέρος* Eustathius Hom. 270, 38 *οὔποτ' ἐσθλῇ* CFGDΦ, unde *οὔ ποτε δ' ἐσθλῇ* alteram lectionem fuisse iudicat Paley 643 *ἐν* D 646 sq. altera recensio *τρέψας . . . βούληαι χρέα τε προφυγεῖν*, altera *τρέψῃς . . . βούληαι δὲ χρέα τε προφυγεῖν* habuisse videtur 646 *τρέψῃς* HKΦ 647 *βούληαι η* ex *ε* m² rest. M, *βούλει* F (*ει* m²) G, *βούλεαι* codd. cett. *δὲ χρέα τε* libri, *δὲ* expulit Spohn *ἀτερπέα* cod. Ambros. C 222 inf., *ἀτερπῆ* ΩΦ (*έα* m. rec. in ras. N), *ἀτερπῆν* D, *ἀτερπέα λιμόν* Ψb 649 '*σημειοῦται*' schol. 'Procli' *σεσοφημένος* C (*σεσοφιμένος* Tzetzae schol.) 654—662 suppositos iudicavit Plutarchus 655 *εἰς* Kirchhoff, *εἰς ἐπέρησα* H pars rec., *εἰσεπέρησα* codd. cett. 655 sq. *προπεφραδμέν' ἄεθλα* | *πόλλ'* Peppmüller

ἄεθλ' ἔθεσαν παῖδες μεγαλήτορος· ἔνθα μέ φημι
ὕμνῳ νικήσαντα φέρειν τρίποδ' οὐατόεντα.
τὸν μὲν ἐγὼ Μούσῃς Ἑλικωνιάδεσσ' ἀνέθηκα,
ἔνθα με τὸ πρῶτον λιγυρῆς ἐπέβησαν ἀοιδῆς.
τόσσον τοι νηῶν γε πεπείρημαι πολυγόμφων·
ἀλλὰ καὶ ὣς ἐρέω Ζηνὸς νόον αἰγιόχοιο·
Μοῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.]

ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο,
ἐς τέλος ἐλθόντος θέρεος καματώδεος ὥρης,
ὡραῖος πέλεται θνητοῖς πλόος· οὔτε κε νῆα
καυάξαις οὔτ' ἄνδρας ἀποφθείσειε θάλασσα,
εἰ δὴ μὴ πρόφρων γε Ποσειδάων ἐνοσίχθων
ἢ Ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλησιν ὀλέσσαι·
ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε.
τῆμος δ' εὐκρινέες τ' αὖραι καὶ πόντος ἀπήμων·
εὔκηλος τότε νῆα θοὴν ἀνέμοισι πιθήσας
ἑλκέμεν ἐς πόντον φόρτον τ' ἐς πάντα τίθεσθαι,
σπεύδειν δ' ὅττι τάχιστα πάλιν οἶκόνδε νέεσθαι·
μηδὲ μένειν οἶνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον
καὶ χειμῶν' ἐπιόντα Νότοιό τε δεινὰς ἀήτας,
ὅς τ' ὤρινε θάλασσαν ὁμαρτήσας Διὸς ὄμβρῳ
πολλῷ ὀπωρινῷ, χαλεπὸν δέ τε πόντον ἔθηκεν.
ἄλλος δ' εἰαρινὸς πέλεται πλόος ἀνθρώποισιν·
ἦμος δὴ τὸ πρῶτον, ὅσον τ' ἐπιβᾶσα κορώνη
ἴχνος ἐποίησεν, τόσσον πέταλ' ἀνδρὶ φανήῃ
ἐν κράδῃ ἀκροτάτῃ, τότε δ' ἄμβατός ἐστι θάλασσα·

---

656 ἄεθλ' Q, ἆθλ' codd. cett. (ᾶ m² in ras. F), superscr. γρ. ἄεθλ' cod. Vindob. 242   μεραλήτορες Ψb   657 οὐατόεντα Nauck, ὠτώεντα libri   666 ἀποφθήσειε C, e corr. m¹ D, ἀποφθίσειε Ωb D m² ΨbΦ   670 ἀπήμων εὔκηλος· Moschopulus   672 τ' εὖ ΨbΦ, δ' εὖ (εὖ m² in ras. F) FG   680 πέταλον τόσον Nauck   φανήῃ scripsi, φανείη codd.

εἰαρινὸς δ' οὗτος πέλεται πλόος. οὔ μιν ἔγωγε
αἴνημ'· οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένος ἐστίν,
ἁρπακτός· χαλεπῶς κε φύγοις κακόν· ἀλλά νυ καὶ τὰ
ἄνθρωποι ῥέζουσιν ἀιδρείῃσι νόοιο·
χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσιν.
δεινὸν δ' ἐστὶ θανεῖν μετὰ κύμασιν· ἀλλά σ' ἄνωγα
φράζεσθαι τάδε πάντα μετὰ φρεσίν, ὡς ἀγορεύω.
μηδ' ἐν νηυσὶν ἅπαντα βίον κοΐλῃσι τίθεσθαι·
ἀλλὰ πλέω λείπειν, τὰ δὲ μείονα φορτίζεσθαι.
δεινὸν γὰρ πόντου μετὰ κύμασι πήματι κύρσαι.
[δεινὸν δ', εἴ κ' ἐπ' ἄμαξαν ὑπέρβιον ἄχθος ἀείρας
ἄξονα καυάξαις καὶ φορτία μαυρωθείη.]
μέτρα φυλάσσεσθαι· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.

Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι,
μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων
μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος·
ἡ δὲ γυνὴ τέτορ' ἡβώοι, πέμπτῳ δὲ γαμοῖτο.
παρθενικὴν δὲ γαμεῖν, ὥς κ' ἤθεα κεδνὰ διδάξῃς.
τὴν δὲ μάλιστα γαμεῖν, ἥ τις σέθεν ἐγγύθι ναίει,
πάντα μάλ' ἀμφιιδών, μὴ γείτοσι χάρματα γήμῃς.
οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληίζετ' ἄμεινον
τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,
δειπνολόχης· ἥ τ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα

---

682 ἀργαλέος Heyer 684 γε DENP, δὲ O, τε cod. Ambros. C 222 inf. 686 δὲ ψυχὴ schol. Arat. 299 688 ἐνὶ Nauck 689 ἐνὶ Ψ b Φ 692 sq. proscripsit Lehrs 692 ἐφ' ἅμαξαν ΩbDM Φ praeter Q 693 τὰ δὲ ΩbΨbQ φορτία μαυρωθείη K, φορτί' ἀμαυρωθείη libri cett. 695 ἐπὶ ΩDΦ excepto Q 696 τριήκοντ' K, τριάκοντα EN 698 γαμείτω ENO, γαμείσθω P 699 ὥς τ' superscr. κ m[1] I, ἵνα 'Aristoteles' Oecon. I 4 Aristides II 41 D. 700 om. A Stobaeus LXX 8 cum Apostolio XIII 93 c 701 ἀμφιιδών Heyne, ἀμφὶς ἰδὼν codd. testes 704 δειπνολόχου Stobaeus LXIX 6 cum Apostolio XIII 51 o Et. Tittm. s. v.

εὗει ἄτερ δαλοῖο καὶ ὠμῷ γήραϊ δῶκεν.

[εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.]

μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον·
εἰ δέ κε ποιήσῃς, μή μιν πρότερος κακὸν ἔρξῃς.
μηδὲ ψεύδεσθαι γλώσσης χάριν· εἰ δὲ σέ γ' ἄρχῃ
ἤ τι ἔπος εἰπὼν ἀποθύμιον ἠὲ καὶ ἔρξας,
δὶς τόσα τείνυσθαι μεμνημένος· εἰ δὲ σέ γ' αὖτις
ἡγῆτ' ἐς φιλότητα, δίκην δ' ἐθέλῃσι παρασχεῖν,
δέξασθαι· δειλός τοι ἀνὴρ φίλον ἄλλοτε ἄλλον
ποιεῖται, σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.

μηδὲ πολύξεινον μηδ' ἄξεινον καλέεσθαι,
μηδὲ κακῶν ἕταρον μηδ' ἐσθλῶν νεικεστῆρα.

μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.

γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος

---

705 *αὔει* Stobaeus *δαλοῖο* Stobaei codd. S(?)MA, *δαλοῦ* libri (cum A) testes cett. altera recensio: (*δαλοῦ*) *καὶ ἐν ὠμῷ γήραϊ θῆκεν* (cf. Hom. *ο* 357) A (ΚΑΙΕΝΩ⟨*μῳ γηραϊ θη*⟩ΚΕΝ) Plutarchus Mor. 527 a Stobaeus cum Apostolio, *ἐν* omisso *Φ* Et. gen. cod. A 706 suspectus Lehrsio 708 *πρότερον* D*Φ* (*ν* in *ς* mut. m. rec. E, *σ* superscr. P) 709 *σέ γ' ἄρχῃ* A (*σ*⟩ΕΓ'ΑΡΧΗ) *ΩΦ* Et. gen. v. *κασίγνητος*, *σέ γ' ἄρχει Ψ*, *κεν ἄρχῃ* Et. Gud. s. v. 710 *ἔπος γ'* F, *ἔπος τ'* EN m¹ O 711 *τίνυσθαι* vel *τίννυσθαι* (*τίννεσθαι* EN) codd. *σέ γ' αὖτις* D, *κεν αὖθις ΩΨ*b*Φ* Et. gen. Gud. 712 *ἡγεῖτ' ἐς Ω*DKLEOP, *ἡγεῖται* Et. gen. Gud. 713 *ἄλλοτ' ἄλλον* M Et. gen., *ἄλλοτε τ' ἄλλον* DENP 714 *νόος* C m¹ (*ς* in *ν* mut. m. rec.) D Et. gen. Gud. 716 *νεικεστῆρα Ω* Eustathius Hom. 793, 11, ΝΗΚΕϹΤΗ⟨*ρα* A, *νεικητῆρα ΨΦ* schol. Pind. Pyth. IV 507 Et. gen. Gud. 718 *τέτλα* Plutarchus Mor. 23 f 719 *μέγιστος* Stobaeus III c. 35 s. 1 Tzetzae schol.

φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.
εἰ δὲ κακὸν εἴποις, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.

μηδὲ πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι
ἐκ κοινοῦ· πλείστη δὲ χάρις, δαπάνη τ' ὀλιγίστη.

μηδέ ποτ' ἐξ ἠοῦς Διὶ λειβέμεν αἴθοπα οἶνον
χερσὶν ἀνίπτοισιν μηδ' ἄλλοις ἀθανάτοισιν·
οὐ γὰρ τοί γε κλύουσιν, ἀποπτύουσι δέ τ' ἀράς.

μηδ' ἄντ' ἠελίου τετραμμένος ὀρθὸς ὀμιχεῖν·
αὐτὰρ ἐπεί κε δύῃ, μεμνημένος, ἔς τ' ἀνιόντα·
μήτ' ἐν ὁδῷ μήτ' ἐκτὸς ὁδοῦ προβάδην οὐρήσῃς
μηδ' ἀπογυμνωθείς· μακάρων τοι νύκτες ἔασιν·
ἑζόμενος δ' ὅ γε θεῖος ἀνήρ, πεπνυμένα εἰδώς,
ἢ ὅ γε πρὸς τοῖχον πελάσας εὐερκέος αὐλῆς.

μηδ' αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθι οἴκου
ἱστίῃ ἐμπελαδὸν παραφαινέμεν, ἀλλ' ἀλέασθαι.

μηδ' ἀπὸ δυσφήμοιο τάφου ἀπονοστήσαντα
σπερμαίνειν γενεήν, ἀλλ' ἀθανάτων ἀπὸ δαιτός.

---

720 *φειδωλή* Wachler 721 *κακόν γ'* KLM *μείζον'* Ω 722 *δυσπέμφελον* Athenaeus VIII 364 d 723 *τε* I Athenaeus schol. Hom. α 266 Eustathius Hom. 1412, 64 724 *λειβέμεν* Nauck, *λείβειν* codd. 726 *γάρ θ' οἵ γε* Φ praeter Q (*γὰρ τοί* m. rec. marg. N) 727 *ἠελίοιο* IKLQ Proclus Ioannes Doxop. Anecd. Ox. IV 167 Cr. *τε*>ΤΡΕΜΜΕΝΟϹ A 728 *ἐπεί κε* AΩD, *ἐπήν κε* ΨbΦ (*κε* om. O) *ἀνιόντος*ΨbΦ 730 *ἀπογυμνωθῇς* ΩbΨbΦ 731 *ὄνθειος* Hermann, *οὐρήσει* (vel *-σετ'*) Peppmüller 733 *πεπαλαγμένον* (*ν* m. rec. in ς mut.) EP, *α* m. rec. superscr. O, *πεπαλαγμένα* N *ἔνδοθι οἴκου* Φ praeter Q, *ἔνδοθεν* A (*εν*>Δ<*οθ*>ЄN) ΩΨQ 734 *ἑστίῃ* IKΦ praeter Q Eustathius Macremb. IV 18 735 *δυστήνοιο* Plutarchus Mor. 562 a post 736 iterum legitur 758 in ΩΨΦ

μηδέ ποτ' αἰενάων ποταμῶν καλλίρροον ὕδωρ
ποσσὶ περᾶν, πρίν γ' εὔξῃ ἰδὼν ἐς καλὰ ῥέεθρα
χεῖρας νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ.
ὃς ποταμὸν διαβῇ κακότητ' ἰδὲ χεῖρας ἄνιπτος,
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἄλγεα δῶκαν ὀπίσσω.

μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐν δαιτὶ θαλείῃ
αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ.

μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθε
πινόντων· ὀλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται.

μηδὲ δόμον ποιῶν ἀνεπίξεστον καταλείπειν,
μή τοι ἐφεζομένη κρώξῃ λακέρυζα κορώνη.

μηδ' ἀπὸ χυτροπόδων ἀνεπιρρέκτων ἀνελόντα
ἔσθειν μηδὲ λόεσθαι· ἐπεὶ καὶ τοῖς ἔνι ποινή.

μηδ' ἐπ' ἀκινήτοισι καθιζέμεν, οὐ γὰρ ἄμεινον,
παῖδα δυωδεκαταῖον, ὅ τ' ἀνέρ' ἀνήνορα ποιεῖ,
μηδὲ δυωδεκάμηνον· ἶσον καὶ τοῦτο τέτυκται.
μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι
ἀνέρα· λευγαλέη γὰρ ἐπὶ χρόνον ἔστ' ἐπὶ καὶ τῷ

---

737 *αἰενάων* I, *ἀενάων* vel *ἀεννάων* codd. cett. 740 proscripsit Aristarchus *κακότητ' ἰδὲ* D, *κακότητ' ἴδε* quidam, *κ. ἔπι* alii scripserunt teste schol. 'Procli'; *κακότητι δὲ* Ω (C m[1]) ΨbΦ 741 *ἄλγε' ἔδωκαν* Peppmüller 746 *ἀνεπίρρεκτον* quidam legerunt (cf. schol. 'Procli' et Moschopuli) 747 *κρώξῃ* ACM (cf. Arat. 1002), *κρώζῃ* codd. fere cett. Orus *περὶ πολυσ. λέξ.* Reitzenstein Gesch. d. gr. Et. 344) Eustathius Macremb. V 16 Dexippus in Arist. Categ. 64 B. 748 *ἀφελόντα* 'Trypho' *περὶ τρόπ.* 4 Pollux X 99 749 *ἔπι* Steitz 750 *καθιζέμεν* Nauck, *καθίζειν* libri testes

ποινή. μηδ' ἱεροῖσιν ἐπ' αἰθομένοισι κυρήσας
μωμεύειν ἀίδηλα· θεός νύ τι καὶ τὰ νεμεσσᾷ.
μηδέ ποτ' ἐν προχοῇς ποταμῶν ἅλαδε προρεόντων
μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι·
μηδ' ἐναποψύχειν· τὸ γὰρ οὔ τοι λώιόν ἐστιν.

ὧδ' ἔρδειν· δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην.
φήμη γάρ τε κακὴ πέλεται, κούφη μὲν ἀεῖραι
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.

φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
λαοὶ φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή.

Ἤματα δ' ἐκ Διόθεν πεφυλαγμένος εὖ κατὰ μοῖραν
πεφραδέμεν δμώεσσι· τριηκάδα μηνὸς ἀρίστην
ἔργα τ' ἐποπτεύειν ἠδ' ἁρμαλιὴν δατέασθαι. 767

αἵδε γὰρ ἡμέραι εἰσὶ Διὸς πάρα μητιόεντος, 769
εὖτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσιν. 768

πρῶτον ἔνη τετράς τε καὶ ἑβδόμη ἱερὸν ἦμαρ,

---

756 *μωμαίνειν* Et. gen. s. v. *τι* AI (superscr. *τοι* m[1] I), *τοι* codd. cett. Et. gen. (*νύτα* cod. A) 757—759 proscripsit Plutarchus 757 *πρ*>ΟΧΟΗC A, *προχοῇ* ΩΨΦ Et. gen. v. *ἀποψύχειν* 758 *ἐξαλέεσθαι* Et. gen. 763 *οὔ τί γε* Aristoteles Eth. Nic. VII 14, *οὔτε γε* Heliodorus paraphr. Eth. Nic. p. 159 H. *λαοὶ* | *πολλοὶ* Demosthenes de fals. leg. 243 (bis) Aeschines *κατὰ Τιμάρχ.* 129 de falsa leg. 144 Aristoteles auctor orat. Corinth. ('Dio') XXVII 47 Moschopulus in Batrach. 12 764 *φημίξωσι* C schol. Procli Demosthenes et Aeschines utroque l. Aristides 'Dio'?, *φημίξουσι* ΩbIK Et. gen. (schol.) v. *ἀλεύω*, *φημίζουσι* DLMNOQ (m[1], in ξ mut. m. rec. Q) schol. Aeschyl. Agam. 929 Heliodorus Moschopulus in Batrach. *τις*] *τοι* IKM 767 *δατέεσθαι* cod. Paris. 2708 Vindob. 256 769. 768 sic disposuit Schoemann 770 *ἔνη*] *μὲν οὖν* Clementis Strom. V 14, 107 codex (L)

— τῇ γὰρ Ἀπόλλωνα χρυσάορα γείνατο Λητώ, —
ὀγδοάτη δ' ἐνάτη τε· δύω γε μὲν ἤματα μηνὸς
ἔξοχ' ἀεξομένοιο βροτήσια ἔργα πένεσθαι·
ἑνδεκάτη δὲ δυωδεκάτη τ', ἄμφω γε μὲν ἐσθλαί,
ἡμὲν ὄις πείκειν ἠδ' εὔφρονα καρπὸν ἀμᾶσθαι·
ἡ δὲ δυωδεκάτη τῆς ἑνδεκάτης μέγ' ἀμείνων·
τῇ γάρ τοι νῇ νήματ' ἀερσιπότητος ἀράχνης
ἤματος ἐκ πλείου, ὅτε ἴδρις σωρὸν ἀμᾶται·
τῇ δ' ἱστὸν στήσαιτο γυνὴ προβάλοιτό τε ἔργον.

μηνὸς δ' ἱσταμένου τρεισκαιδεκάτην ἀλέασθαι
σπέρματος ἄρξασθαι· φυτὰ δ' ἐνθρέψασθαι ἀρίστη.

ἕκτη δ' ἡ μέσση μάλ' ἀσύμφορός ἐστι φυτοῖσιν,
ἀνδρογόνος δ' ἀγαθή· κούρῃ δ' οὐ σύμφορός ἐστιν,
οὔτε γενέσθαι πρῶτ' οὔτ' ἂρ γάμου ἀντιβολῆσαι.

οὐδὲ μὲν ἡ πρώτη ἕκτη κούρῃ γε γενέσθαι
ἄρμενος, ἀλλ' ἐρίφους τάμνειν καὶ πώεα μήλων
σηκόν τ' ἀμφιβαλεῖν ποιμνήιον ἤπιον ἦμαρ·
ἐσθλὴ δ' ἀνδρογόνος· φιλέοι δ' ὅ γε κέρτομα βάζειν
ψεύδεά θ' αἱμυλίους τε λόγους κρυφίους τ' ὀαρισμούς.

---

772 δ' AQ Et. Tittm. v. γέμεν, τ' codd. cett. 774 δὲ I, ΔЄ (i. e. δέ et τε) A, δὲ superscr. τε m[1] C; τε codd. cett. 777 νῇ Cobet, νῇ quidam teste [Suida] v. νεῖν, νη Et. gen. v. νῆμα, νεῖ (ex νῆ corr. I) libri Eustathius Hom. 1166, 57 778 ὅτε ἴδρις cod. Laur. conv. suppr. 158, ὅ τε Ϝίδρις Bergk, ὅτε τ' ἴδρις CΨΦ Et. Tittm. s. v., ὅτ' ἴδρις Ωb 780 τρισκαιδεκάτην codd. 781 σπέρματα δάσσασθαι ΩKNO Et. Tittm. v. δάσασθαι 782 πέμπτη Pollux I 63 μάλα σύμφορος 'Proclus' 783 οὐ σύμφορος D, ἀσύμφορος codd. cett. 785 κούρῃ γε scripsi, κούρῃ τε AΩbDIMQ, κούρῃσι CON m[1] (κούρῃ τε m. rec. N), κούρῃσι τὲ KL 788 ΦΙΛЄΟΙΔ'ΟΓЄ A, φιλέοι δέ κε ΩNO, φιλέει δέ κε ΨQ κέρδεα Ω (τομα m. al. superscr. C) 789 θ'] Γ' A

μηνὸς δ' ὀγδοάτῃ κάπρον καὶ βοῦν ἐρίμυκον
ταμνέμεν, οὐρῆας δὲ δυωδεκάτῃ ταλαεργούς.

εἰκάδι δ' ἐν μεγάλῃ, πλέῳ ἤματι, ἵστορα φῶτα
γείνασθαι· μάλα γάρ τε νόον πεπυκασμένος ἐστίν.
ἐσθλὴ δ' ἀνδρογόνος δεκάτη, κούρῃ δέ τε τετρὰς
μέσση· τῇ δέ τε μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
καὶ κύνα καρχαρόδοντα καὶ οὐρῆας ταλαεργοὺς
πρηΰνειν ἐπὶ χεῖρα τιθείς. πεφύλαξο δὲ θυμῷ
τετράδ' ἀλεύασθαι φθίνοντός θ' ἱσταμένου τε
ἄλγε' ἃ θυμοβορεῖ· μάλα γὰρ τετελεσμένον ἦμαρ.

ἐν δὲ τετάρτῃ μηνὸς ἄγεσθ' εἰς οἶκον ἄκοιτιν
οἰωνοὺς κρίνας, οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι.

πέμπτας δ' ἐξαλέασθαι, ἐπεὶ χαλεπαί τε καὶ αἰναί·
ἐν πέμπτῃ γάρ φασιν Ἐρινύας ἀμφιπολεύειν
Ὅρκον γεινόμενον, τὸν Ἔρις τέκε πῆμ' ἐπιόρκοις.

μέσσῃ δ' ἑβδομάτῃ Δημήτερος ἱερὸν ἀκτὴν
εὖ μάλ' ὀπιπεύοντα ἐυτροχάλῳ ἐν ἀλωῇ
βαλλέμεν, ὑλοτόμον τε ταμεῖν θαλαμήια δοῦρα
νήιά τε ξύλα πολλά, τά τ' ἄρμενα νηυσὶ πέλονται.

---

793 om. A γείνασθαι Ψb, γίνασθαι DEO, γίνεσθαι Ω, e corr. N πεπνυμένος ΩKLEN ἔσται Doederlein 794 sqq. Plutarchum 'ἐσθλὴ δ' ἀνδρογόνος δεκάτη· πεφύλαξο δὲ θυμῷ' legisse (ceteris omissis) e Procli scholio conclusit Goettling 796 ἡμιόνους EN 799 reiecit Steitz ἄλγε' ἃ θυμοβορεῖ scripsi, ἄλγεα θυμοβορεῖν (ΘΥΜΟΒΟΡ . . . A) libri, ἄλγεα θυμοβόρα eiecto v. 798 Schoemann ΓΑΡ A, τοι ΩΨΦ 804 γεινόμενον C m[1] DMNO, ΓΙΝΟΜΕΝ⟨ον A, cf. Vergilius Georg. I 277 sq., τιννυμένας ΩbKQ 806 ὀπιπεύοντα cod Placent. 6, ὀπιπτεύοντα L, ὀπιπτεύοντ' K; ὀπιπεύοντας C, ὀπιπτεύοντας ΩbIMNQ, ς eraso O, ΟΠΙΠΕΥΟ . . . A, ὀπιπεύοντος D 807 βαλλέμεν scripsi, βάλλειν (ΒΑ⟨λλε⟩ΙΝ A) codd.

τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς.

εἰνὰς δ' ἡ μέσση ἐπὶ δείελα λώιον ἦμαρ,
πρωτίστη δ' εἰνὰς παναπήμων ἀνθρώποισιν·
ἐσθλὴ μὲν γάρ θ' ἥ γε φυτευέμεν ἠδὲ γενέσθαι
ἀνέρι τ' ἠδὲ γυναικί· καὶ οὔ ποτε πάγκακον ἦμαρ.

παῦροι δ' αὖτε ἴσασι τρισεινάδα μηνὸς ἀρίστην
[ἄρξασθαί τε πίθου καὶ ἐπὶ ζυγὸν αὐχένι θεῖναι
βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσι,]
νῆα πολυκλήιδα θοὴν εἰς οἴνοπα πόντον
εἰρύμεναι· παῦροι δέ τ' ἀληθέα κικλήσκουσιν.

τετράδι δ' οἶγε πίθον· περὶ πάντων ἱερὸν ἦμαρ
μέσση· παῦροι δ' αὖτε μετ' εἰκάδα μηνὸς ἀρίστην
ἠοῦς γιγνομένης· ἐπὶ δείελα δ' ἐστὶ χερείων.

αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ,
αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι.
ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δὲ ἴσασιν.

ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.

τάων εὐδαίμων τε καὶ ὄλβιος, ὃς τάδε πάντα
εἰδὼς ἐργάζηται ἀναίτιος ἀθανάτοισιν,
ὄρνιθας κρίνων καὶ ὑπερβασίας ἀλεείνων.

---

812 θ' ἥ γε AM m^1 (τ' ἠδὲ superscr. m^2), θ' ἥδε DNO, ἥδε Ω, τῇδε IKLQ 815 sq. alteri recensioni tribuit Goettling 815 ἐπὶ ζυγὸν αὐχένι Hermann, ἐπὶ ζ. αὐχένα ΩΨΦ, ὑπὸ ζυγὸν (vel ὑπόζυγον) αὐχένα Grashof 817 θοήν τ' IKLQ 818 ЄΛΚЄΜ⟨ενα⟩Ι. A 820 μεσσηῃ (i. e. μέσσῃ$^{\eta}$ O), μεσσήη· N, μεσσίη· M, μεσσήην (i. e. μέσσῃ$^{\eta\nu}$) CF, μέσσην G δ' αὖτε μετ' εἰκάδα AΨbQ, δέ τε μετεικάδα D, δὲ μετ' εἰκάδα ΩNO 824 τ' (τι O) ἴσασιν ΩΨΦ, τ' expulit Lennep 828 'Procli' schol.: τούτοις δὲ ἐπάγουσί τινες τὴν Ὀρνιθομαντείαν, ἅτινα Ἀπολλώνιος ὁ Ῥόδιος ἀθετεῖ

ΑΣΠΙΣ

NOTAE LIBRORUM

P = papyrus Oxyrhynch. 689 saec. II exeuntis
A = papyrus Raineri archiducis Austriae, nunc bibl. caesareae Vindobonensis L. P. 21—29 saec. IV
(Q = papyrus musei Berolinensis 9774 saec. ut videtur I a. Chr. n.)

B = fragmentum (v. 75—298), quod extat in codice Parisino bibl. publicae ('nationalis') 'supplem. graec. 663' saec. XII
C = fragmentum alterum (v. 87—138), quod in eodem codice Parisino invenitur, saec. XII
D = cod. Mediolanensis bibl. Ambrosianae C 222 inf. saec. XIII
E = cod. Florentinus bibl. Laurentianae XXXII 16 saec. XIII (1281)

F = cod. Parisinus bibl. publicae ('nationalis') 2773 saec. XIV

G = cod. Parisinus bibl. publicae ('nationalis') 2772 saec. XIV
H = cod. Florentinus bibl. Laurentianae XXXI 32 saec. XV
I = cod. Londinensis Harleianus 5724 musei Britannici saec. XIV

K = cod. Romanus bibl. Casanatensis 356 saec. XIV
L = cod. Florentinus bibl. Laurentianae conv. suppress. 158 saec. XIV
M = cod. Parisinus bibl. publicae ('nationalis') 2833 saec. XV

Ex his adnumerandi sunt

classis Ω { generi a (Ωa) codices BCDF
generi b (Ωb) codices GHI }

classis Ψ { generi a (Ψa) codex E
generi b (Ψb) codices KLM }

Genus mixtum

N = cod. Venetus bibl. Marcianae IX 6 saec. XIV
O = cod. Parisinus bibl. publicae ('nationalis') 2708 saec. XV

recensio Triclinii: cod. Venetus bibl. Marcianae 464 saec. XIV (1316—1320)

ΥΠΟΘΕΣΕΙΣ

A

Τῆς Ἀσπίδος ἡ ἀρχὴ ἐν τῷ τετάρτῳ Καταλόγῳ φέρεται μέχρι στίχων ν' καὶ ς'. διὸ καὶ ὑπώπτευκεν Ἀριστοφάνης ὡς οὐκ οὖσαν αὐτὴν Ἡσιόδου, ἀλλ' ἑτέρου τινὸς τὴν Ὁμηρικὴν ἀσπίδα μιμήσασθαι προαιρουμένου. Μεγακλῆς ὁ Ἀθηναῖος γνήσιον μὲν οἶδε τὸ ποίημα, ἄλλως δὲ ἐπιτιμᾷ τῷ Ἡσιόδῳ. ἄλογον γάρ φησι ποιεῖν ὅπλα Ἥφαιστον τοῖς τῆς μητρὸς ἐχθροῖς. Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ τρίτῳ φησὶν αὐτοῦ εἶναι ἔκ τε τοῦ χαρακτῆρος καὶ ἐκ τοῦ πάλιν τὸν Ἰόλαον ἐν τῷ Καταλόγῳ εὑρίσκειν ἡνιοχοῦντα Ἡρακλεῖ. καὶ Στησίχορος δέ φησιν Ἡσιόδου εἶναι τὸ ποίημα.

A 3 cf. schol. Vatic. Dionys. Thrac. prol. p. 124, 3 H. *ζητοῦμεν δὲ καὶ τὸν συγγραφέα, ἵνα τὸ ἀξιόπιστον ἢ μὴ τοῦ συγγραψαμένου καταλάβωμεν· τοῦτο δὲ διὰ τὰ ψευδεπίγραφα τῶν βιβλίων, ὡς ἔχει ἡ Ἀσπὶς Ἡσιόδου· ἑτέρου γάρ ἐστιν, ἐπιγραφῇ δὲ καὶ ὀνόματι ἐχρήσατο τῆς Ἡσιόδου, ἵνα τῇ ἀξιοπιστίᾳ τοῦ ποιητοῦ ἀξία κριθῇ ἀναγνώσεως* v. praeterea schol. Dionys. Thrac. Prol. 3,31 H. comm. byz. in art. Dionys. Thrac. p. 568, 26 H. schol. Lond. Dionys. Thrac. p. 471, 35 H.

A argumenti partem priorem edidi e codd. DFGKLMNO 2 *ν' καὶ ς'* Petit, *ν̄ καὶ σ̄* GKLMN, *ν' καὶ σ'* O, *σ̄ν̄* D, *η̄ καὶ ε̄* F *καὶ* om. D 4 *προαιρουμένου τὴν . . . μιμήσασθαι* KLM alteram argumenti partem exhibent GKNO, om. DFLM 6 *καὶ ἄλλως ἐπιτιμᾶται ἡσίοδος* KNO 9 *πάλιν* G, *πάλαι* KNO 10 *καὶ* om. K

B

Τάφιοι στρατεύσαντες ἐπὶ τὰς Ἠλεκτρύωνος βόας ἀνεῖλον τοὺς τῆς Ἀλκμήνης ἀδελφοὺς τῶν θρεμμάτων ὑπεραγωνιζομένους. τοῦ δὲ Ἀμφιτρύωνος αὐτῇ βουλομένου συνελθεῖν, αὕτη οὐ πρότερον ὑπέσχετο, πρὶν ἢ παρὰ τῶν ἀδελφοκτόνων εἰσπράξηται τιμωρίαν. ὁ δὲ ἐπιστρατεύσας ἀνεῖλεν αὐτούς. κατὰ δὲ τὴν αὐτὴν νύκτα ἀμφότεροι συνέρχονται αὐτῇ, ὅ τε Ζεὺς καὶ ὁ Ἀμφιτρύων, ὁ μὲν δὴ ἐκ τοῦ πολέμου ὑποστρέψας, Ζεὺς δὲ βουληθεὶς βοηθὸν ἀνθρώποις γεννῆσαι. ἡ δὲ κύει ἐκ μὲν Ἀμφιτρύωνος Ἰφικλέα, ἐκ δὲ Διὸς Ἡρακλέα. ὃς καὶ ἐπὶ Κύκνον τὸν Ἄρεος υἱὸν ἡνίοχον ἔχων Ἰόλαον στρατεύεται, ὃς τοὺς εἰς Πυθὼ τὰς δεκάτας ἄγοντας περιεσύλα. σκεπασθεὶς οὖν ἡφαιστοτεύκτῳ ἀσπίδι πρόσεισιν εἰς Τραχῖνα πρὸς Κήυκα. συμβαλὼν δὲ τῷ Κύκνῳ αὐτὸν μὲν ἀναιρεῖ, τὸν δὲ Ἄρεα ὑπερασπίζοντα τοῦ υἱοῦ κατὰ τὸν μηρὸν τιτρώσκει· καὶ οὕτως ἔρχεται πρὸς Κήυκα. ἦν δὲ ὁ Κύκνος Κήυκος γαμβρὸς ἐπὶ θυγατρὶ Θεμιστονόῃ.

Γ

Οἱ Τάφιοι καὶ Τηλεβόαι εἰς ἔριν ἐλθόντες πρὸς τοὺς ἀδελφοὺς τῆς Ἀλκμήνης ἐφόνευσαν αὐτούς. αὐτὴ δὲ τὸν ἑαυτῆς γάμον ἐκήρυττε γαμεῖσθαι τῷ δυναμένῳ

B post priorem argumenti *A* partem legitur in DFGNO

4 *αὕτη*] *ἡ δὲ* DNO 5 *παρὰ* om. FNO, *περὶ* G 7 *ὁ Ζεὺς τὲ* D 11 *καὶ* om. FGO *ἄρεως* FO 12 *τὰς τοὺς εἰς πυθὼ* F, *εἰς πυθὼ τοὺς* D *δεκάτας* Boissonade, *δεκάδας* codd. 15 *Ἄρεα* D, *ἄρην* codd. cett. 16 *κατὰ μηρὸν* DNO 17 *γαμβρὸς κήυκος* FG, *γαμβρὸς ἐπὶ θυγατρὶ θεμιστονόῃ τοῦ κήυκος* NO

Γ legitur in cod. Veneto Marc. IX 23 (= V) saec. XV
3 *γαμεῖσθαι ἐκείνου* V

διεκδικῆσαι τὸν θάνατον τῶν ἑαυτῆς ἀδελφῶν. περιερχομένη οὖν ἐπὶ τούτῳ ἦλθε καὶ εἰς Θήβας, ὅπου ἐβασίλευσε τότε Ἀμφιτρύων. κἀκεῖνος ὑπέσχετο τοῦτο αὐτῇ. καὶ δὴ λαβὼν αὐτὴν γυναῖκα πρὶν συγγενέσθαι αὐτῇ ἐστράτευσε κατὰ τῶν Ταφίων. οὐ γὰρ εἴα αὐτὸν ἐκείνη μιχθῆναι αὐτῇ, πρὶν ἂν λάβῃ δίκην παρὰ τῶν ἀδελφοκτόνων. στρατεύσας οὖν κατ' ἐκείνων ἀνεῖλεν αὐτούς, ἐπανήξας δὲ νικητὴς συνεγένετο τῇ γυναικί. ὅτε δὴ καὶ Ζεὺς συνῆλθεν αὐτῇ, γεννᾷ οὖν ἐκ μὲν Ἀμφιτρύωνος Ἰφικλέα, ἐκ δὲ Διὸς Ἡρακλέα. ὃς δὴ εἰς Τραχῖνα πρὸς Κήυκα πορευόμενος ὁδοῦ πάρεργον Κύκνον τὸν Ἄρεως τοὺς εἰς Δελφοὺς τὰς δεκάτας κομίζοντας περισυλοῦντα φονεύει ἡνίοχον ἔχων Ἰόλαον τὸν ἀδελφιδοῦν ἡφαιστοτεύκτῳ τε ἀσπίδι σκεπασθεὶς καὶ τὴν Ἀθηνᾶν ἔχων συνεργόν. Ἄρην δὲ ὑπερασπίζοντα τοῦ υἱοῦ τιτρώσκει κατὰ τὸν μηρὸν οὕτω τῆς Ἀθηνᾶς συμβουλευσάσης. καὶ οὕτω πρὸς Κήυκα ἔρχεται ἔχων καὶ τὰ τοῦ Κύκνου ὅπλα. Κῆυξ δὲ Κύκνον ἐντίμως θάπτει. καὶ γὰρ ἦν ὁ Κύκνος γαμβρὸς αὐτῷ ἐπὶ θυγατρὶ Θεμιστονόῃ.

Δ

Ἀμφιτρύων καὶ Ἠλεκτρύων υἱοὶ Ἀλκαίου ἐγένοντο· τῷ δὲ Ἠλεκτρύωνι πρεσβυτέρῳ ὄντι τὴν ἡλικίαν ἀποθνήσκων ὁ Ἀλκαῖος ἐπέτρεψεν ἅπασαν τὴν ἑαυτοῦ οὐσίαν προστάξας, ἐπειδὰν ὁ ἀδελφὸς ἀνδρωθῇ Ἀμφιτρύων, ἀποδοῦναι τὴν καταλειφθεῖσαν μοῖραν τῆς περιουσίας. ἀνδρωθεὶς δὲ ὁ Ἀμφιτρύων καὶ ἀπαιτῶν παρὰ τοῦ Ἠλεκτρύωνος ἀδελφοῦ Τιρύνθου τότε βασιλεύον-

15 *δεκάτας* restitui, *δεκάδας* V 18 *δὲ* scripsi, *τὲ* V
Δ ex M edidi 6 *ἀπαιτῶν* in marg., *ζητῶν* in textu M
7 *τυρίνθου* M, *Τίρυνθος* Heinrich

τος τὸ ἐπιβάλλον αὐτῷ μέρος τῆς πατρικῆς οὐσίας ἐπεὶ οὐκ ἐλάμβανεν, ἀγνωμονοῦντος τοῦ ἀδελφοῦ πόλεμον ἐκίνησε κατ' αὐτοῦ καὶ προσκαλεσάμενος Ταφίους καὶ Τηλεβόας εἰς συμμαχίαν καὶ κρατήσας τοῦ ἀδελφοῦ, αὐτὸν μὲν ἀνεῖλε καὶ τοὺς υἱοὺς αὐτοῦ, τῆς δὲ θυγατρὸς Ἀλκμήνης ἐφείσατο. νόμου δὲ ὄντος τὸν κινήσαντα ἐμφύλιον πόλεμον ἐν ἀλλοτρίᾳ χώρᾳ τρία ἔτη καθαίρεσθαι ὁ μὲν Ἀμφιτρύων εἰς Θήβας ἀπῆλθε καθαρθῆναι. ἡ δὲ Ἀλκμήνη ζητοῦσα ἀμύνασθαι τοὺς Ταφίους καὶ Τηλεβόας ἕνεκα τοῦ φόνου τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν προὔθηκε γάμον ἑαυτῆς τῷ ποιήσοντι τὴν ἄμυναν. Ἀμφιτρύων δὲ ὁ πάτρως ἐρασθεὶς αὐτῆς ὑπέσχετο τὴν ἄμυναν ποιήσεσθαι κατ' ἐκείνων καὶ συνθεὶς τὸν γάμον ὤμοσεν ἦ μὴν μὴ πρὶν τῇ Ἀλκμήνῃ συνέσεσθαι, πρὶν ἂν τοὺς Ταφίους καὶ Τηλεβόας καταπολεμήσῃ. καὶ οὗτος μὲν συλλέξας στρατιὰν ἐστράτευσεν ἐπὶ τοὺς Ταφίους καὶ Τηλεβόας· Ζεὺς δὲ πολλῶν ὄντων ἐν τῷ τότε χρόνῳ βιαίων καὶ τυραννικῶν καὶ ἀδίκων ἀνθρώπων, ἐν οἷς καὶ Κύκνος ὁ τοῦ Ἄρεος ἦν, ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος περισυλῶν μὲν τὰς προσαγομένας δεκάτας τῷ θεῷ, φονεύων δὲ τοὺς προσάγοντας, βουλόμενος τοῖς ἀδικουμένοις παρ' ἑαυτοῦ βοηθόν τινα φῦναι συνεγένετο τῇ Ἀλκμήνῃ τρεῖς ὅλας συνεχεῖς νύκτας. καθ' ὃν χρόνον καὶ τοῦ Ἀμφιτρύωνος ἐκ τῆς νίκης ἐπανελθόντος καὶ τῇ Ἀλκμήνῃ συγκοιμηθέντος συνέλαβεν ἐκ μὲν Διὸς Ἡρακλέα, ἐκ δὲ Ἀμφιτρύωνος Ἴφικλον. εἰπόντος δὲ τοῦ Διὸς τοιάδε, τὸν γεννηθέντα ταύτῃ τῇ νυκτὶ ἔσεσθαι μακρῷ πάντων

---

20 κατ' ἐκείνων Boissonade, κατ' ἐκεῖνον M 22 τοὺς cf. argum. Δ 16, om. M 24 ἐπιταφίους M 34. 35 τὸν γεννηθέντα τοιᾶδε M, rest. Boissonade

ἀνδρειότερον καὶ βασιλεύσειν τῶν ἄλλων, ἡ δὲ Ἥρα ζηλοτυπήσασα προήγαγε μὲν τὰς τῆς Ἀλκμήνης ὠδῖνας, ἐπετάχυνε δὲ τὰς τῆς Ἀρχίππης. καὶ αὕτη μὲν ἐγέννησε τὸν Εὐρυσθέα ἑπτάμηνον, ᾧ ἤδη καὶ δέδοται βασιλεύειν κατὰ τὸ τοῦ Διὸς θέσπισμα. Ἀλκμήνη δὲ ἐγέννησε τὸν Ἡρακλέα δεκάμηνον. ὁ οὖν Ἡρακλῆς τῆς μὲν βασιλείας ἀπέτυχεν, ἀνδρειότατος δὲ γενόμενος περιιὼν ἀνῄρει πάντας τοὺς τυράννους· ἐν οἷς καὶ Κύκνον τὸν Ἄρεος λαβὼν μεθ' ἑαυτοῦ Ἰόλαον τὸν Ἰφίκλου συνεργὸν ἀνεῖλε σκεπασθεὶς ἡφαιστοτεύκτῳ ἀσπίδι, Ἄρεα δὲ τοῦ υἱοῦ ὑπερασπίζοντα κατὰ τὸν μηρὸν τιτρώσκει. ἔπειτα δὲ ἔρχεται πρὸς Κήυκα, οὗ γαμβρὸς ἦν ὁ Κύκνος ἐπὶ θυγατρὶ Θεμιστονόῃ.

Ἔλειος καὶ Μήστωρ ἀδελφοί, ἀπὸ Μήστορος Ἱπποθόη· ἣν λαβὼν Πτερέλας ὁ Τάφου τοῦ Τηλεβόου παῖδας ἔσχεν ἑπτά· Ἀντίοχον Χειροδάμαντα Χρομίον Τύραννον Μήστορα Τηλεβόαν Τάφιον.

E

Ἀμφιτρύων καὶ Ἠλεκτρύων υἱοὶ Ἀλκαίου· ἦν δὲ ὁ Ἠλεκτρύων ὁ γεραίτερος ἀδελφός. θνήσκων δὲ ὁ Ἀλκαῖος ἐκάλεσε τὸν υἱὸν αὐτοῦ Ἠλεκτρύωνα λέγων αὐτῷ· ἐὰν ἀνδρωθῇ ὁ ἀδελφός σου Ἀμφιτρύων, δὸς αὐτῷ τὴν περιουσίαν, ἥν σοι κατέλειψα χάριν αὐτοῦ. ἀποθανόντος δὲ ἐκείνου ἠνδρώθη μετὰ ταῦτα ὁ Ἀμφιτρύων

---

39 *Εὐρυσθέα* scripsi, *εὐρυσθῆα* M *ἐδέδοτο*? Goettling 48 *θεμιστόνη* M 49 *καὶ ἱπποθόης* M, correxi 51 *χειριδάμαντα* M

E post priorem argumenti *A* partem invenitur in KL (extrema etiam in F) 2 *γεραίτερος*? T. Mommsen, *γηραιὸς* codd. 3 *ἐκέλευσε* L

καὶ ἐζήτησε τὴν πατρικὴν δωρεάν. μὴ διδόντος δὲ τοῦ Ἠλεκτρύωνος, ὃς τῆς Τιρύνθου ἐβασίλευεν, ἐκινήθη κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἠλεκτρύωνος προσκαλεσάμενος Ταφίους καὶ Τηλεβόας, καὶ ἀνεῖλεν αὐτὸν καὶ τοὺς υἱοὺς αὐτοῦ, τὴν δὲ θυγατέρα αὐτοῦ Ἀλκμήνην ὡς γυναῖκα κατέλειψεν. ἦν δὲ νόμος τὸν ποιήσαντα ἐμφύλιον πόλεμον καθαίρεσθαι ὑπὸ ἄλλης χώρας χρόνους τρεῖς. ποιήσας οὖν ὁ Ἀμφιτρύων ἐμφύλιον πόλεμον ἀπῆλθεν εἰς Θήβας καθαρθῆναι. ἡ δὲ Ἀλκμήνη περιπατοῦσα ἔλεγεν, ὅς τις ἂν εὑρεθῇ ἀμυνόμενος τὸν φόνον τῶν ἀδελφῶν καὶ τοῦ πατρὸς αὐτῆς, ἵνα λάβῃ αὐτὴν ὡς γυναῖκα· καὶ ἐλθοῦσα εἰς Θήβας εἶπεν οὕτως. ἀκούσας δὲ ὁ Ἀμφιτρύων εἶπεν ἐκδικητὴν γενέσθαι τοῦ φόνου. ἠράσθη γὰρ αὐτῆς ὡς ὡραίας· καὶ ἀνεψιὰ αὐτοῦ ἦν. ἐτέθη δὲ ὅρκος ἐν αὐτῷ μὴ μιγῆναι πρὶν ἢ θανατώσει τοὺς Ταφίους καὶ Τηλεβόας. καὶ ἀπελθὼν Ἀμφιτρύων ἐπολέμει αὐτούς. ἐμνήσθη οὖν ὁ Ζεὺς καὶ ἠθέλησε ποιῆσαι βοηθὸν θεῶν καὶ ἀνθρώπων, διότι ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος ἦν τις Κύκνος περισυλῶν τὰς δεκάτας τὰς τῷ Ἀπόλλωνι προσαγομένας καὶ φονεύων καὶ τοὺς προσαγομένους, υἱὸς Ἄρεος ὑπερασπίζοντος αὐτοῦ. καὶ συνῆλθεν ἐπὶ τρισὶ νυξὶ τῇ Ἀλκμήνῃ· καὶ συνέλαβε τὸν Ἡρακλέα. ἐλθόντος δὲ τοῦ Ἀμφιτρύωνος ἀπὸ τοῦ φόνου τῶν Ταφίων καὶ Τηλεβοῶν συνευνάσθη τῇ Ἀλκμήνῃ· καὶ συνέλαβε τὸν Ἴφικλον. ἐγέννησεν οὖν δύο παῖδας, τὸν μὲν Ἡρακλέα ἀνδρεῖον καὶ μεγαλόφρονα, τὸν δὲ Ἴφικλον μωρὸν καὶ ἄνανδρον. λέγεται δὲ τὸν Δία τῇ Ἀλκμήνῃ ⟨συνελ-

---

8 *ἐβασίλευσεν* L 13 *ἀπὸ* K 13. 14 *τρεῖς χρόνους* L 14 *πόλεμον* K, *φόνον* L 26 *δεκάδας* K 34 *⟨συνελθόντα⟩* addidi, om. KL

θόντα⟩ ἀνελθεῖν εἰς τὸν οὐρανὸν καὶ εἰπεῖν, ὅτι ὃς γεννηθῇ ἐν ταύτῃ τῇ νυκτί, ἔσται φρόνιμος ἀνδρεῖος πλούσιος καὶ βασιλεύς. ζηλοτυπήσασα δὲ ἡ Ἥρα ἔκλεισε τὰς ὠδῖνας τῆς Ἀλκμήνης, τῆς δὲ Ἀρχίππης ἀνέῳξε. καὶ ἐγέννησεν Ἀρχίππη τὸν Εὐρυσθέα ἑπτάμηνον· καὶ ἐδόθη ἐκείνῳ τὸ εἶναι βασιλεὺς καὶ πλούσιος. γεννηθεὶς δὲ ὕστερος ὁ Ἡρακλῆς ἐκτήσατο τὸ ἀνδρεῖος εἶναι καὶ φρόνιμος. κινηθεὶς οὖν Διὸς βουλῇ — διὰ τοῦτο γοῦν συνῆλθε Ζεὺς τῇ Ἀλκμήνῃ — ἀπῆλθε πρὸς τὸν ναὸν τοῦ Ἀπόλλωνος, ἔνθα οὖν καὶ ὁ Κύκνος ᾤκει, λαβὼν μετ' αὐτοῦ καὶ τὸν Ἰόλαον τὸν Ἰφίκλου υἱὸν συνεργὸν τῆς κατ' αὐτοῦ μάχης. καὶ ἀπελθὼν ἀπέκτεινεν αὐτὸν σκεπασθεὶς ἡφαιστοτεύκτῳ ἀσπίδι, τὸν δὲ Ἄρην ὑπερασπίζοντα τοῦ υἱοῦ κατὰ μηρὸν τιτρώσκει. καὶ οὕτως ἔρχεται πρὸς Κήυκα. ἦν δὲ ὁ Κύκνος γαμβρὸς τοῦ Κήυκος ἐπὶ θυγατρὶ Θεμιστονόῃ.

Ἔλειος καὶ Μήστωρ ἀδελφοί, ἀπὸ Μήστορος Ἱπποθόη· ἣν λαβὼν Πτερέλας ὁ Τάφου τοῦ Τηλεβόου παῖδας ἔσχεν ἑπτά· εἰσὶ δὲ οὗτοι· Ἀντίοχος Χειροδάμας Χρομίος Τύραννος Μήστωρ Τηλεβόας Τάφιος.

---

41 ὕστερον K 44 ἔνθα ἦν ὁ κύκνος καὶ ᾤκει K 50 τοῦ om. L θεμιστόνῃ KL 51 καὶ ἱπποθόης L 52 ὁ Πτερέλας KL, ὁ om. F 53 ἴσχει F

Ἢ οἵη προλιποῦσα δόμους καὶ πατρίδα γαῖαν
ἤλυθεν ἐς Θήβας μετ' ἀρήιον Ἀμφιτρύωνα
Ἀλκμήνη, θυγάτηρ λαοσσόου Ἠλεκτρύωνος·
ἥ ῥα γυναικῶν φῦλον ἐκαίνυτο θηλυτεράων
εἴδεΐ τε μεγέθει τε· νόον γε μὲν οὔ τις ἔριζε
τάων, ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι.
τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων τ' ἄπο κυανεάων
τοῖον ἄηθ' οἷόν τε πολυχρύσου Ἀφροδίτης.
ἣ δὲ καὶ ὣς κατὰ θυμὸν ἑὸν τίεσκεν ἀκοίτην,
ὡς οὔ πώ τις ἔτισε γυναικῶν θηλυτεράων·
ἦ μέν οἱ πατέρ' ἐσθλὸν ἀπέκτανε ἶφι δαμάσσας,
χωσάμενος περὶ βουσί· λιπὼν δ' ὅ γε πατρίδα γαῖαν
ἐς Θήβας ἱκέτευσε φερεσσακέας Καδμείους.
ἔνθ' ὅ γε δώματ' ἔναιε σὺν αἰδοίῃ παρακοίτι
νόσφιν ἄτερ φιλότητος ἐφιμέρου, οὐδέ οἱ ἦεν
πρὶν λεχέων ἐπιβῆναι ἐυσφύρου Ἠλεκτρυώνης,

1—56 cf. Hypothesis *A* 1 et Fragm. 136; Hesiodi imitatori cuidam v. tribuit Leo 7 sq. suspecti Wolfio 7 ΚΥΑΝЄ[ΑΩ] A, *κυανεάων* schol. Hom. Ven. B Townl. *T* 1 Apollonius Lex. Hom. v. *ἐά* Eustathius Hom. 1363, 55; *κυανέων* *Ω* Et. gen. v. *ἀπὸ κυανέων*; *κυανεώντων* EK, *κυανεόντων* LM, *κυανοέντων* Nauck 12 ΒΟΥϹΙΝ A 13 ΦΕΡ⟨ε⟩ϹΑΚЄ⟨ας A, *φερεσακέας* GH 14 *παρ*⟩ΑΚΟΙΤΗΙ A 15 *ου*⟩ΔЄΟΙ A, *οὐ γάρ οἱ* *ΩΨ*

πρίν γε φόνον τείσαιτο κασιγνήτων μεγαθύμων
ἧς ἀλόχου, μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας
ἀνδρῶν ἡρώων Ταφίων ἰδὲ Τηλεβοάων.
τὼς γάρ οἱ διέκειτο, θεοὶ δ' ἐπὶ μάρτυροι ἦσαν·
τῶν ὅ γ' ὀπίζετο μῆνιν, ἐπείγετο δ' ὅττι τάχιστα
ἐκτελέσαι μέγα ἔργον, ὅ οἱ Διόθεν θέμις ἦεν.
τῷ δ' ἅμα ἱέμενοι πολέμοιό τε φυλόπιδός τε
Βοιωτοὶ πλήξιπποι, ὑπὲρ σακέων πνείοντες,
Λοκροί τ' ἀγχέμαχοι καὶ Φωκῆες μεγάθυμοι
ἕσποντ'· ἦρχε δὲ τοῖσιν ἐὺς πάις Ἀλκαίοιο
κυδιόων λαοῖσι. πατὴρ δ' ἀνδρῶν τε θεῶν τε
ἄλλην μῆτιν ὕφαινε μετὰ φρεσίν, ὥς ῥα θεοῖσιν
ἀνδράσι τ' ἀλφηστῇσιν ἀρῆς ἀλκτῆρα φυτεύσαι.
ὦρτο δ' ἀπ' Οὐλύμποιο δόλον φρεσὶ βυσσοδομεύων,
ἱμείρων φιλότητος ἐυζώνοιο γυναικός,
ἐννύχιος· τάχα δ' ἷξε Τυφαόνιον· τόθεν αὖτις
Φίκιον ἀκρότατον προσεβήσατο μητίετα Ζεύς.
ἔνθα καθεζόμενος φρεσὶ μήδετο θέσκελα ἔργα·
αὐτῇ μὲν γὰρ νυκτὶ τανυσφύρου Ἠλεκτρυώνης
εὐνῇ καὶ φιλότητι μίγη, τέλεσεν δ' ἄρ' ἐέλδωρ·
αὐτῇ δ' Ἀμφιτρύων λαοσσόος, ἀγλαὸς ἥρως,
ἐκτελέσας μέγα ἔργον ἀφίκετο ὅνδε δόμονδε.
οὐδ' ὅ γ' ἐπὶ δμῶας καὶ ποιμένας ἀγροιώτας

---

17 *τίσαιτο* codd. 18 *πυρὶ καταφλέξαι* ΩaΨ (corr. m¹ E) 20 ΤΩC A, *ὣς* ΩΨ *ἐπὶ μάρτυροι* DEIK, ΕΠΙΜΑΡΤΥΡΟΙ (Λ supra) A, *ἐπιμάρτυροι* codd. cett. 24 *πληξι*⟩ΠΠΟ⟨*ι*⟩CAKEΩN (?) ΚΑΔΜΕΙΟΝΕC (glossema irrepsit) A *ἐπὶ* KL 25 *ἀγχίμαχοι* Ψ 27 *δ'* om. Et. gen. v. *βυσσοδομεύων* cod. A 28 ΩCPA in ΟΦΡΑ mut. A, *ὅς ῥα* Et. gen. (cod. A), *ὄφρα* Ψb 29 *φυτεῦσαι* ΩK schol. 30 *πολλὰ φρεσὶ* Et. gen. cod. B 32 *αὖθις* G 35 *τανυσφύρῳ ἠλεκτρυώνῃ* FΩb 39 sqq. duplicem recensionem (v. 39—41 et 42—45) statuit Wilamowitz

ὧρτ' ἰέναι, πρίν γ' ἧς ἀλόχου ἐπιβήμεναι εὐνῆς·
τοῖος γὰρ κραδίην πόθος αἴνυτο ποιμένα λαῶν.

ὡς δ' ὅτ' ἀνὴρ ἀσπαστὸν ὑπεκπροφύγῃ κακότητα
νούσου ὕπ' ἀργαλέης ἢ καὶ κρατεροῦ ὑπὸ δεσμοῦ,
ὥς ῥα τότ' Ἀμφιτρύων χαλεπὸν πόνον ἐκτολυπεύσας
ἀσπασίως τε φίλως τε ἑὸν δόμον εἰσαφίκανεν.

παννύχιος δ' ἄρ' ἔλεκτο σὺν αἰδοίῃ παρακοίτι
τερπόμενος δώροισι πολυχρύσου Ἀφροδίτης.
ἡ δὲ θεῷ δμηθεῖσα καὶ ἀνέρι πολλὸν ἀρίστῳ
Θήβῃ ἐν ἑπταπύλῳ διδυμάονε γείνατο παῖδε,
οὐ καθ' ὁμὰ φρονέοντε· κασιγνήτω γε μὲν ἤστην·
τὸν μὲν χειρότερον, τὸν δ' αὖ μέγ' ἀμείνονα φῶτα,
δεινόν τε κρατερόν τε, βίην Ἡρακληείην·
τὸν μὲν ὑποδμηθεῖσα κελαινεφέι Κρονίωνι,
τὸν δ' ἄρα Ἰφικλῆα δορυσσόῳ Ἀμφιτρύωνι,

κεκριμένην γενεήν· τὸν μὲν βροτῷ ἀνδρὶ μιγεῖσα,
τὸν δὲ Διὶ Κρονίωνι, θεῶν σημάντορι πάντων.

Ὃς καὶ Κύκνον ἔπεφνεν, Ἀρητιάδην μεγάθυμον.
εὗρε γὰρ ἐν τεμένει ἑκατηβόλου Ἀπόλλωνος
αὐτὸν καὶ πατέρα ὃν Ἄρην, ἄατον πολέμοιο,
τεύχεσι λαμπομένους σέλας ὣς πυρὸς αἰθομένοιο,

42—45 ante 39 collocavit Kinkel 45 *ἀσπάσιός τε φίλος τε* Wilamowitz *φιλίως* Ψb 49 *διδυμάον' ἐγείνατο* FΩb 50 *οὐ κάθομα* Lennep, cf. ⟨ο⟩ΥΚΑΘΟΜΑΦΡΟΝΕΟΝΤΕϹ papyr. paraphr. Iliad. Herm. XXII 636; *οὐκέθ' ὁμὰ* codd. 54 *τὸν δ' ἄρα* scripsi, *αὐτὰρ* libri, *τὸν δ' αὖτ'* vel *αὖ* Peppmüller *λαοσσόῳ* Ψb 55 sq. a carminis compositore adsutos esse censet Wilamowitz 59 *πατέρ' ὃν* D *Ἄρην* D, *ἄρη* F, *ἄρη'* codd. cett. *ἄατον* D, *ἆτον* libri cett.

ἑσταότ' ἐν δίφρῳ· χθόνα δ' ἔκτυπον ὠκέες ἵπποι
νύσσοντες χηλῇσι, κόνις δέ σφ' ἀμφιδεδήει
κοπτομένη πλεκτοῖσιν ὑφ' ἅρμασι καὶ ποσὶν ἵππων.
ἅρματα δ' εὐποίητα καὶ ἄντυγες ἀμφαράβιζον
ἵππων ἱεμένων· κεχάρητο δὲ Κύκνος ἀμύμων,
ἐλπόμενος Διὸς υἱὸν ἀρήιον ἡνίοχόν τε
χαλκῷ δῃώσειν καὶ ἀπὸ κλυτὰ τεύχεα δύσειν.
ἀλλά οἱ εὐχωλέων οὐκ ἔκλυε Φοῖβος Ἀπόλλων·
αὐτὸς γάρ οἱ ἐπῶρσε βίην Ἡρακληείην.
πᾶν δ' ἄλσος καὶ βωμὸς Ἀπόλλωνος Παγασαίου
λάμπεν ὑπὸ δεινοῖο θεοῦ τευχέων τε καὶ αὐτοῦ·
πῦρ δ' ὣς ὀφθαλμῶν ἀπελάμπετο. τίς κεν ἐκείνου
ἔτλη θνητὸς ἐὼν κατεναντίον ὁρμηθῆναι
πλήν γ' Ἡρακλῆος καὶ κυδαλίμου Ἰολάου;
[*κείνων γὰρ μεγάλη τε βίη καὶ χεῖρες ἄαπτοι*
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.]
ὅς ῥα τόθ' ἡνίοχον προσέφη κρατερὸν Ἰόλαον·
  ἥρως ὦ Ἰόλαε, βροτῶν πολὺ φίλτατε πάντων,
ἦ τε μέγ' ἀθανάτους μάκαρας, τοὶ Ὄλυμπον ἔχουσιν,
ἤλιτεν Ἀμφιτρύων, ὅτ' ἐυστέφανον ποτὶ Θήβην
ἦλθε λιπὼν Τίρυνθον, ἐυκτίμενον πτολίεθρον,
κτείνας Ἠλεκτρύωνα βοῶν ἕνεκ' εὐρυμετώπων·
ἵκετο δ' ἐς Κρείοντα καὶ Ἡνιόχην τανύπεπλον,
οἵ ῥά μιν ἠσπάζοντο καὶ ἄρμενα πάντα παρεῖχον,

---

61 *ἑσταῶτ'* Ωb *ἐνὶ* ΩbE 71 *ὑπὸ* H, *ὑπαὶ* codd. cett. 72 *ἐκείνου* D, *ἐκείνω* Ψ, *ἐκείνῳ* G, *ἐκεῖνω* F, *ἐκείνων* HI 74 *πλήν γ'* Ωa, *πλὴν* Ψ, *πρίν γ'* Ωb 75 sq. eiecit Paley 75 *κείνω* E (*κείνῳ* Hermann) 79 *τε* Peppmüller, *τι* (*τοι* IM) codd. *μέγ'* ex *μετ'* m[1] rest. L, *μετ'* vel *μέτ'* codd. cett. 81 *τήρυνθον* B, *τίρυνθ'* Ωb, *τίρυνθα* (*α* ex *ον* m[2]) L, *τίρυνθα* M, *Τίρυνθος* Winterton 84 *ἅρμενα* DG, *ἅρμετα* L, *ἅρματα* K

ἦ δίκη ἔσθ' ἱκέτῃσι, τίον δέ ἑ κηρόθι μᾶλλον.
ζῶε δ' ἀγαλλόμενος σὺν ἐυσφύρῳ Ἠλεκτρυώνῃ,
ᾗ ἀλόχῳ· τάχα δ' ἄμμες ἐπιπλομένων ἐνιαυτῶν
γεινόμεθ' οὔτε φυὴν ἐναλίγκιοι οὔτε νόημα,
σός τε πατὴρ καὶ ἐγώ· τοῦ μὲν φρένας ἐξέλετο Ζεύς,
ὃς προλιπὼν σφέτερόν τε δόμον σφετέρους τε τοκῆας
ᾤχετο, τιμήσων ἀλιτήμενον Εὐρυσθῆα,
σχέτλιος· ἦ που πολλὰ μετεστεναχίζετ' ὀπίσσω
ἣν ἀάτην ὀχέων· ἡ δ' οὐ παλινάγρετός ἐστιν.
αὐτὰρ ἐμοὶ δαίμων χαλεποὺς ἐπετέλλετ' ἀέθλους.
ὦ φίλος, ἀλλὰ σὺ θᾶσσον ἔχ' ἡνία φοινικόεντα
ἵππων ὠκυπόδων· μέγα δὲ φρεσὶ θάρσος ἀέξων
ἰθὺς ἔχειν θοὸν ἅρμα καὶ ὠκυπόδων σθένος ἵππων,
μηδὲν ὑποδδείσας κτύπον Ἄρεος ἀνδροφόνοιο,
ὃς νῦν κεκληγὼς περιμαίνεται ἱερὸν ἄλσος
Φοίβου Ἀπόλλωνος, ἑκατηβελέταο ἄνακτος·
ἦ μὴν καὶ κρατερός περ ἐὼν ἄαται πολέμοιο.
τὸν δ' αὖτε προσέειπεν ἀμώμητος Ἰόλαος·
ἠθεῖ', ἦ μάλα δή τι πατὴρ ἀνδρῶν τε θεῶν τε
τιμᾷ σὴν κεφαλὴν καὶ ταύρεος Ἐννοσίγαιος,
ὃς Θήβης κρήδεμνον ἔχει ῥύεταί τε πόληα·
οἷον δὴ καὶ τόνδε βροτὸν κρατερόν τε μέγαν τε
σὰς ἐς χεῖρας ἄγουσιν, ἵνα κλέος ἐσθλὸν ἄρηαι.

---

85 η B ἱκέτῃ (quod habet cod. colleg. Emman. Cantabr.), τῖον? Ranke δέ ἑ Ranke, δέ γε Ωb (γε om H.), δ' ἄρα libri cett. schol. Monac. 87 ἄμμες (ἄμμε Guyet) περιπλομένων M 89 φρένα B 91 ἀλιτήμηνον εὐρυσθέα Ωb, Εὐρυσθῆ' ἠλιτόμηνον Bentley 92 μετεστεναχίζετ' C, μεταστοναχίζετ' M, μετεστοναχίζετ' (sim.) codd. cett. 93 ἀάτην scripsi, ἄτην (ἄταν Ψb) libri Stobaeus III c. 4 s. 35 ὀχέων Ωa, ἀχέων codd. cett. Stobaeus 97 θοὸς BC 99 ὃς καὶ νῦν BCE 101 ἄεται E 103 ἠθεῖ' EF, ἠθεῖε codd. cett. 104 ἐνοσίγαιος BCM, ἐνοσίγεος GH (in ἐννοσίγαιος m² mut. G) 105 πόληας Ψ 107 εἰς codd.

ἀλλ' ἄγε δύσεο τεύχε' ἀρήια, ὄφρα τάχιστα
δίφρους ἐμπελάσαντες Ἄρηός θ' ἡμέτερόν τε
μαρνώμεσθ', ἐπεὶ οὔ τοι ἀτάρβητον Διὸς υἱὸν
οὐδ' Ἰφικλεΐδην δειδίξεται, ἀλλά μιν οἴω
φεύξεσθαι δύο παῖδας ἀμύμονος Ἀλκεΐδαο,
οἳ δή σφι σχεδόν εἰσι, λιλαιόμενοι πολέμοιο
φυλόπιδα στῆσαι, τά σφιν πολὺ φίλτερα θοίνης.

ὣς φάτο· μείδησεν δὲ βίη Ἡρακληείη
θυμῷ γηθήσας· μάλα γάρ νύ οἱ ἄρμενα εἶπεν·
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·

ἥρως ὦ Ἰόλαε, διοτρεφές, οὐκέτι τηλοῦ
ὑσμίνη τρηχεῖα· σὺ δ' ὡς πάρος ἦσθα δαΐφρων,
ὣς καὶ νῦν μέγαν ἵππον Ἀρίονα κυανοχαίτην
πάντη ἀναστρωφᾶν καὶ ἀρηγέμεν, ὥς κε δύνηαι.

ὣς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινοῦ,
Ἡφαίστου κλυτὰ δῶρα, περὶ κνήμῃσιν ἔθηκεν·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε
καλὸν χρύσειον πολυδαίδαλον, ὅν οἱ ἔδωκε
Παλλὰς Ἀθηναίη, κούρη Διός, ὁππότ' ἔμελλε
τὸ πρῶτον στονόεντας ἐφορμήσεσθαι ἀέθλους.
θήκατο δ' ἀμφ' ὤμοισιν ἀρῆς ἀλκτῆρα σίδηρον
δεινὸς ἀνήρ· κοΐλην δὲ περὶ στήθεσσι φαρέτρην

---

108 *ἀλλά γε* GHKL 110 *μαρνώμεθ'* BCΩb 111 *οὐ Ϝιφικλείδην* Bentley 112 *φεύξασθαι* Ψ praeter M *δύο* om. B, *δύω* C 113 *πτολέμοιο* (e corr.) E 114 spurium iudicat Paley *στῆσαι* Stahl, *στήσειν* codd. *φέρτερα* ex Hom. ΩbΨ (praeter M) 116 *νύ οἱ* DF (*νύοι* F), *νυ* GH, *οἱ* IΨ, ε C, ε B (*τέ οἱ* alteram lectionem fuisse censet Peppmüller) *ἀρμενα* B, *ἅρμενα* DFH 120 *Ἀρίονα* F schol. paraphr., *αρήονα* B, *ἀρείονα* codd. cett. 121 *γε* Ψb 122 *ὀριχάλκοιο* Et. gen. cod. uterque 125 *πολυδαιδάλεον* BCLM *ὅν οἱ* E, *ὅν ῥ' οἱ* (sim.) libri cett. 127 *ἐφορμήσασθαι* DΨ 129 *κοίλην* codd.

καββάλετ' ἐξόπιθεν· πολλοὶ δ' ἔντοσθεν ὀιστοὶ
ῥιγηλοί, θανάτοιο λαθιφθόγγοιο δοτῆρες.
πρόσθεν μὲν θάνατόν τ' εἶχον καὶ δάκρυσι μῦρον,
μέσσοι δὲ ξεστοί, περιμήκεες, αὐτὰρ ὄπισθε
μόρφνοιο φλεγύαο καλυπτόμενοι πτερύγεσσιν.
εἵλετο δ' ὄβριμον ἔγχος, ἀκαχμένον αἴθοπι χαλκῷ,
κρατὶ δ' ἔπ' ἰφθίμῳ κυνέην ἐύτυκτον ἔθηκε,
δαιδαλέην ἀδάμαντος, ἐπὶ κροτάφοις ἀραρυῖαν,
ἥ τ' εἴρυτο κάρη Ἡρακλῆος θείοιο.
  χερσί γε μὴν σάκος εἷλε παναίολον, οὐδέ τις αὐτὸ
οὔτ' ἔρρηξε βαλὼν οὔτ' ἔθλασε, θαῦμα ἰδέσθαι.
πᾶν μὲν γὰρ κύκλῳ τιτάνῳ λευκῷ τ' ἐλέφαντι
ἠλέκτρῳ θ' ὑπολαμπὲς ἔην χρυσῷ τε φαεινῷ
λαμπόμενον, κυάνου δὲ διὰ πτύχες ἠλήλαντο.
ἐν μέσσῳ δ' ἀδάμαντος ἔην Φόβος οὔ τι φατειός,
ἔμπαλιν ὄσσοισιν πυρὶ λαμπομένοισι δεδορκώς·
τοῦ καὶ ὀδόντων μὲν πλῆτο στόμα λευκὰ θεόντων,
δεινῶν ἀπλήτων, ἐπὶ δὲ βλοσυροῖο μετώπου
δεινὴ Ἔρις πεπότητο κορύσσουσα κλόνον ἀνδρῶν,
σχετλίη, ἥ ῥα νόον τε καὶ ἐκ φρένας εἵλετο φωτῶν,
οἵ τινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν.

---

130 κάμβάλετ' B, καμβάλετ' C, κάμβαλεν F, κάμβαλε δ' H ἐξόπισθεν ΩbM 131 λαθηφθόγγοιο Ψ, λαθοφθόγγοιο BC 134 μόρφνοιο DF, μορφνοῖο libri cett. Et. mag. v. φλεγύας 135 εἵλετο δ' ex Hom. *O* 482 Hermann, ἦσαν· ὃ δ' (ἰδ' E) libri ὄμβριμον BCEGHK ἀκάχμενον CI, ἀκάχμιον GH αἴθοπι χαλκῷ Ωa (praeter F) Ψ (excepto M), εἵλετο χαλκῷ F, εἵλετο θυμῷ ΩbM 136 ἐύτυκτον BCHM, εὔτυκτον codd. cett. 138 ἤρυτο Ψb κάρην FΩb (κάρην' I) 139 γε om. M, δὲ Ωb μὲν BΨ 141 λευκῇ Ωb 142 ὑπερλαμπὲς Ψ 143 κυανοῦ BΩb, κυανῷ F 144 δ' ἀδάμαντος schol. Monac., cf. Ranke Hes. Scut. 178 Studniczka Serta Hartel. 60; δὲ δράκοντος . . . φόβος (altera recensio) libri Ioannes Pediasimus schol. paraphr. 147 προσώπου DΩb

[τῶν καὶ ψυχαὶ μὲν χθόνα δύμεναι Ἄιδος εἴσω
†αὐτῶν, ὀστέα δέ σφι περὶ ῥινοῖο σαπείσης
Σειρίου ἀζαλέοιο μελαίνῃ πύθεται αἴῃ.]

ἐν δὲ προΐωξίς τε παλίωξίς τε τέτυκτο,
ἐν δ' ὅμαδός τε φόβος τ' ἀνδροκτασίη τε δεδήει,
ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ἐθύνεον, ἐν δ' ὀλοὴ Κὴρ
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖιν.
εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν,
δεινὸν δερκομένη καναχῇσί τε βεβρυχυῖα.

ἐν δ' ὀφίων κεφαλαὶ δεινῶν ἔσαν, οὔ τι φατειῶν,
δώδεκα, ταὶ φοβέεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
οἵ τινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν·
τῶν καὶ ὀδόντων μὲν καναχὴ πέλεν, εὖτε μάχοιτο
Ἀμφιτρυωνιάδης, τὰ δ' ἐδαίετο θαυματὰ ἔργα.
στίγματα δ' ὣς ἐπέφαντο ἰδεῖν δεινοῖσι δράκουσιν·
κυάνεοι κατὰ νῶτα, μελάνθησαν δὲ γένεια.

151—153 eiecit Lehrs 151 *δύμεναι* DΩb, *δύνουσ'* BE, *δύνουσιν* Ψb, *δύουσ'* F, cf. quae dixi Herm. XXXIII 598 151 † *αὐτῶν* verbi finiti loco invectum esse vidit Kinkel *περὶ ῥινοῖο* superscr. ρ E, *περιρρινοῖο* F 153 *κελαινῇ* Ψ 154—160 Welckero suspectos reiecit Furtwängler 155 *φόβος* Ω (praeter B), *φόνος* BΨ 156—159 (= Hom. Σ 535—538) suspecti Schlichtegrollio al. 156 *ὁμίλεον* Hom. Σ 535 158 *τεθνειῶτα* DFΨ 159 *δαφοίνεον* BDΨ 160 *βεβρυχυῖα* NO, *βεβριθυῖα* (ex Hom. Φ 385) ΩΨ 161—167 interpolatori tribuerunt Rhode et Künneth 162 *ταὶ βόσκονται* in textu, *γρ. ταὶ φοβέεσκον* in marg. E 163 eiecit Paley 165 *τὰ δὲ* (*τ' ἅδε* B) *δαίετο* BDF, *τε γε δαίετο* in *τάδ' ἐδαίετο* mut. E, *τ' ἐδαίετο* Ψb *θαῦματα* B, *θαυματὰ* schol. Pind. Ol. I 43, *θαυμαστὰ* (in *θαυμάσια* mut. E) Ω praeter B Ψ 167 *κυανέοιο* B, *κυάνεα* FΩb

ἐν δὲ συῶν ἀγέλαι χλούνων ἔσαν ἠδὲ λεόντων
ἐς σφέας δερκομένων, κοτεόντων θ' ἱεμένων τε.
τῶν καὶ ὁμιληδὸν στίχες ἤισαν· οὐδέ νυ τώ γε
οὐδέτεροι τρεέτην· φρῖσσόν γε μὲν αὐχένας ἄμφω.
ἤδη γάρ σφιν ἔκειτο μέγας λῖς, ἀμφὶ δὲ κάπροι
δοιοί, ἀπουράμενοι ψυχάς, κατὰ δέ σφι κελαινὸν
αἷμ' ἀπελείβετ' ἔραζ'· οἳ δ' αὐχένας ἐξεριπόντες
κείατο τεθνηῶτες ὑπὸ βλοσυροῖσι λέουσιν.
τοὶ δ' ἔτι μᾶλλον ἐγειρέσθην, κοτέοντε μάχεσθαι,
ἀμφότεροι, χλοῦναί τε σύες χαροποί τε λέοντες.
ἐν δ' ἦν ὑσμίνη Λαπιθάων αἰχμητάων
Καινέα τ' ἀμφὶ ἄνακτα Δρύαντά τε Πειρίθοόν τε
Ὁπλέα τ' Ἐξάδιόν τε Φάληρόν τε Πρόλοχόν τε
Μόψον τ' Ἀμπυκίδην, Τιταρήσιον, ὄζον Ἄρηος,
Θησέα τ' Αἰγεΐδην, ἐπιείκελον ἀθανάτοισιν·
ἀργύρεοι, χρύσεια περὶ χροῒ τεύχε' ἔχοντες.
Κένταυροι δ' ἑτέρωθεν ἐναντίοι ἠγερέθοντο
ἀμφὶ μέγαν Πετραῖον ἰδ' Ἄσβολον οἰωνιστὴν
Ἄρκτον τ' Οὔρειόν τε μελαγχαίτην τε Μίμαντα
καὶ δύο Πευκεΐδας, Περιμήδεά τε Δρύαλόν τε,

168—177 duplicem recensionem statuit Peppmüller 169 τ' ἱεμένων ΒΨ, om. τ' D, τ' ἱεμένων H 170 ἴεσαν D, ἴησαν e corr. E, ἴσαν LM, ἦσαν K, ἦσαν I τῶν γε (in τώ γε mut.) E, τῶν γε BFΩb 171 τρείτην (ει e corr., εει m² superscr.) E τε M 173 an δοιώ? (cf. 211) 175 τεθνηῶτες M, τεθνειῶτες codd. cett. ὑπαὶ E βλοσυροῖο λέοντος Peppmüller 178 ὑσμίνη τε μάχη τε (τε μάχη τε m¹ del.) E, ὑσμίνη τε μάχη D, ὑσμίνη μάχη (μάχη postea del. M) Ψb 181 eiecit Deiters 182 legit Clitias pictor vasis Françoisii, proscripsit E. Meyer 183 om. Ωb, m. rec. in marg. G χρύσεα Ψb 185 ἰδ' DE, ἴδ' B, ἠδ' (ἢδ' F) codd. cett. ἄσβελον D, ἄσμολον (σμ in ras.) GH, ΗΑΣΒΟΛΟΣ vas Clitiae 186 τ' οὔριον Ωb, θ' οὔριον Ψb, θ' οὔριον F, θούρειον superscr. ι m. al. E, θούριον BD Ioannes Pediasimus Μελαγχαίτην Deiters (ΜΕΛΑΓΧΑΙΤΕΣ Centauri nomen in vase Clitiae) τ' Ἔλατόν τε Jahn

ἀργύρεοι, χρυσέας ἐλάτας ἐν χερσὶν ἔχοντες.
καί τε συναΐγδην ὡς εἰ ζωοί περ ἐόντες
ἔγχεσιν ἠδ' ἐλάτῃς αὐτοσχεδὸν ὠριγνῶντο.
ἐν δ' Ἄρεος βλοσυροῖο ποδώκεες ἕστασαν ἵπποι
χρύσεοι, ἐν δὲ καὶ αὐτὸς ἐναρσφόρος οὔλιος Ἄρης
αἰχμὴν ἐν χείρεσσιν ἔχων, πρυλέεσσι κελεύων,
αἵματι φοινικόεις, ὡς εἰ ζωοὺς ἐναρίζων
δίφρου ἐπεμβεβαώς· παρὰ δὲ Δεῖμός τε Φόβος τε
ἕστασαν ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.
ἐν δὲ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,
τῇ ἰκέλη ὡς εἴ τε μάχην ἐθέλουσα κορύσσειν,
ἔγχος ἔχουσ' ἐν χερσὶν ἰδὲ χρυσέην τρυφάλειαν
αἰγίδα τ' ἀμφ' ὤμοις· ἐπὶ δ' ᾤχετο φύλοπιν αἰνήν.
ἐν δ' ἦν ἀθανάτων ἱερὸς χορός· ἐν δ' ἄρα μέσσῳ
ἱμερόεν κιθάριζε Διὸς καὶ Λητόος υἱὸς
χρυσείῃ φόρμιγγι· [θεῶν δ' ἕδος ἁγνὸς Ὄλυμπος·
ἐν δ' ἀγορή, περὶ δ' ὄλβος ἀπείριτος ἐστεφάνωτο
ἀθανάτων ἐν ἀγῶνι·] θεαὶ δ' ἐξῆρχον ἀοιδῆς
Μοῦσαι Πιερίδες, λιγὺ μελπομένῃς εἰκυῖαι.
ἐν δὲ λιμὴν εὔορμος ἀμαιμακέτοιο θαλάσσης

188 ἐνὶ E 189 καί γε D, οἵ τε B συναίκτην Ψ (γδ m. al. in ras. K) 191 ἕστασαν NO, ἕστασαν ΩΨ 192 δ' αὐτός τ' ἐναρηφόρος olim scripsi ἐναρσφόρος BDΨ Et. gen. (cod. B) s. v., ἐναροφόρος FΩb 193 ἔγχος τ' Ωb 195 δίφρου L. Dindorf, δίφρον I, δίφρῳ codd. cett. δὲ om. Ψ (excepto M), δὴ GHM 197 ολοὴ B, unde ὀλοὴ ἦν in alia recensione fuisse existimat Peppmüller 199 ἐν χερσὶν L, ἐν χερσὶ DKM, ἐν χειρὶ BFΩb, ἐνὶ χειρὶ E ἰδὲ χρυσέην Bentley, χρυσέην (χρυσείην M) τε codd. τετραφάλειαν B 200 ὤμοις D, ὤμοισιν codd. cett. 202 διὸς καὶ λητοῦς BE, Λητόος Gerhard, λητοῦς καὶ διὸς codd. cett. 203 θεῶν — 205 ἀγῶνι seclusit Bauermeister 203 alteram recensionem habuisse (cf. 201) ἐν δ' ἦν ἀθανάτων μακάρων ἕδος κτλ. arbitratur Wilamowitz 206 μελπομέναις ΩbΨ εἰκυῖαι codd. versuum 207—213 loco quattuor versus (διπλαῖς insignes) contracti leguntur post Homeri Σ 596—608 in pap. Q 207 sq. ЄΝΔЄΛΙΜΗΝЄ ΓЄΤΥΚ⟨το⟩ЄΑΝΟΥ

κυκλοτερὴς ἐτέτυκτο πανέφθου κασσιτέροιο
κλυζομένῳ ἴκελος· [πολλοί γε μὲν ἂμ μέσον αὐτοῦ
δελφῖνες τῇ καὶ τῇ ἐθύνεον ἰχθυάοντες
νηχομένοις ἴκελοι·] δοιὼ δ' ἀναφυσιόωντες
ἀργύρεοι δελφῖνες †ἐφοίνεον ἔλλοπας ἰχθῦς.
τῶν δ' ὕπο χάλκειοι τρέον ἰχθύες· αὐτὰρ ἐπ' ἀκταῖς
ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος· εἶχε δὲ χερσὶν
ἰχθύσιν ἀμφίβληστρον ἀπορρίψοντι ἐοικώς.
  ἐν δ' ἦν ἠυκόμου Δανάης τέκος, ἱππότα Περσεύς,
οὔτ' ἄρ' ἐπιψαύων σάκεος ποσὶν οὔθ' ἑκὰς αὐτοῦ,
θαῦμα μέγα φράσσασθ', ἐπεὶ οὐδαμῇ ἐστήρικτο.
τὼς γάρ μιν παλάμαις τεῦξεν κλυτὸς Ἀμφιγυήεις
χρύσεον· ἀμφὶ δὲ ποσσὶν ἔχεν πτερόεντα πέδιλα.
ὤμοισιν δέ μιν ἀμφὶ μελάνδετον ἆορ ἔκειτο
χαλκέου ἐκ τελαμῶνος· ὃ δ' ὥς τε νόημ' ἐποτᾶτο·
πᾶν δὲ μετάφρενον εἶχε κάρη δεινοῖο πελώρου,
Γοργοῦς· ἀμφὶ δέ μιν κίβισις θέε, θαῦμα ἰδέσθαι,
ἀργυρέη· θύσανοι δὲ κατηωρεῦντο φαεινοὶ
χρύσειοι· δεινὴ δὲ περὶ κροτάφοισι ἄνακτος

(ex Hom. Σ 613) ΚΑϹϹΙΤΕΡΟΙΟ Q
209 πολλοί — 211 ἴκελοι, quae recentioris originis esse censuit Peppmüller, non inveniuntur in Q 209 ἂν DE αὐτῆς D 210 θυέων B 211 ΔΟΙѠ Q, δοιοὶ ΩΨ 212 huius quoque versus clausulam primitus fuisse ἐθύνεον ἰχθυάοντες (v. 210) arbitratur Wilamowitz † ε>ΦΟΙΝΕΟΝ Q, ἐφοιβο$^{\omega}$ν F, ἐφοίτων libri cett. Et. gen. v. ἔλλοψ, ἐθοίνων Ioannes Pediasimus, ἐθοινῶντ' Ranke, ἐθήρων Schoemann, ἐποίχοντ' Halbertsma 213 ΤΟΥΔ Q υπ>ΟΧΑΛΚΕ<ιοι Q, ὑπὸ χάλκεοι ΩbELM, ὑποχάλκεοι FK θέον Ωb επακτισ? B, ἐπ' ἀκτῆς Peppmüller 214 ἧστο ἀνὴρ libri Et. gen. v. ἀμφίβληστρον, ἕζετ' ἀνὴρ Bentley, ἧστ' ἀνὴρ Schulze, ἀνὴρ ἧσθ' Gerhard χειρὶ Et. gen. 215 ἀπορρίψαντι Et. gen. 218 φράσσασθαι Ωb, φράσασθαι E; an φράσσασθαι μέγα θαῦμ'? (cf. Hymn. Hom. Ap. Pyth. 237) 219 τεύχεν B 222 χάλκεον Ψ ὥστε νόημα ποτᾶτο Ω 226 χρύσεοι DIΨb (ι m. rec. add. M)

κεῖτ' Ἄιδος κυνέη νυκτὸς ζόφον αἰνὸν ἔχουσα.
αὐτὸς δὲ σπεύδοντι καὶ ἐρρίγοντι ἐοικὼς
Περσεὺς Δαναΐδης ἐτιταίνετο. ταὶ δὲ μετ' αὐτὸν
Γοργόνες ἄπλητοί τε καὶ οὐ φαταὶ ἐρρώοντο
ἱέμεναι μαπέειν. ἐπὶ δὲ χλωροῦ ἀδάμαντος
βαινουσέων ἰάχεσκε σάκος μεγάλῳ ὀρυμαγδῷ
ὀξέα καὶ λιγέως· ἐπὶ δὲ ζώνῃσι δράκοντε
δοιὼ ἀπῃωρεῦντ' ἐπικυρτώοντε κάρηνα.
λίχμαζον δ' ἄρα τώ γε· μένει δ' ἐχάρασσον ὀδόντας
ἄγρια δερκομένω· ἐπὶ δὲ δεινοῖσι καρήνοις
Γοργείοις ἐδονεῖτο μέγας φόβος. οἳ δ' ὑπὲρ αὐτέων
ἄνδρες ἐμαρνάσθην πολεμήια τεύχε' ἔχοντες,
τοὶ μὲν ὑπὲρ σφετέρης πόλιος σφετέρων τε τοκήων
λοιγὸν ἀμύνοντες, τοὶ δὲ πραθέειν μεμαῶτες.
πολλοὶ μὲν κείατο, πλέονες δ' ἔτι δῆριν ἔχοντες
μάρνανθ'· αἱ δὲ γυναῖκες ἐυδμήτων ἐπὶ πύργων
χαλκέων ὀξὺ βόων, κατὰ δ' ἐδρύπτοντο παρειάς,
ζωῇσιν ἴκελαι, ἔργα κλυτοῦ Ἡφαίστοιο.
ἄνδρες δ', οἳ πρεσβῆες ἔσαν γῆράς τε μέμαρπεν,
ἀθρόοι ἔκτοσθεν πυλέων ἔσαν, ἂν δὲ θεοῖσι

---

228 *μὲν* Lehrs 230 *ἄπληστοι* Et. gen. v. *μαπέειν* *φατοὶ* Ψb 231 *μαρπέειν* LM 233 *ὀξέως* Ωb *δράκοντε* B, *δράκοντες* codd. cett. 234 *ἐπὶ κυρτώοντε* F, *ἐπικυρτώωντε* Ωb (praeter I), *ἐπικυρτόωντε* LM, *επὶ κυρτόεντε* B, *ἐπὶ κυρτώεντα* E 235 *λίχμαζον* M, *λίχμασον* KL, superscr. *αἰ* m[1] E, *λίχμασσον* F (*σσ* in ras.), *λίκμασον* Ωb, *αιχμάσον* (m[1] superscr. *σ*) B, *αἴχμασσον* D 236 *ἐπὶ δεινοῖσιν δὲ* E 237 *αὐτῶν* ΩbE 239 *ὑπὸ* BDΨb (in *ὑπὲρ* mut. m[2] L), *ἀπὸ* Guyet 240 *παραθέειν* Ωb, *διαπραθέειν* Ψ 241 *κείατο* L, *κέατο* codd. cett. 243 *χαλκέων* de Pauw, *χάλκεον* libri, *χάλκεαι* Spitzner 245 *πρεσβεῖες* B, *πρέσβυες* E, *πρέσβηες* Buttmann *γῆράς τε μέμαρπεν* F schol., cf. quae dixi Herm. XXXIII 607 sq.; *γῆράς τε μέμαρπον* DΩbEKL, *γῆρα τε μέμαρπτων* B, *γῆράς τε μέμαρπτο* M 246 *ἴσαν* IH, *ἦσαν* Ωb

χεῖρας ἔχον μακάρεσσι, περὶ σφετέροισι τέκεσσι
δειδιότες· τοὶ δ' αὖτε μάχην ἔχον. αἳ δὲ μετ' αὐτοὺς
Κῆρες κυάνεαι, λευκοὺς ἀραβεῦσαι ὀδόντας,
δεινωπαὶ βλοσυραί τε δαφοιναί τ' ἄπληταί τε
δῆριν ἔχον περὶ πιπτόντων· πᾶσαι δ' ἄρ' ἵεντο
αἷμα μέλαν πιέειν· ὃν δὲ πρῶτον μεμάποιεν
κείμενον ἢ πίπτοντα νεούτατον, ἀμφὶ μὲν αὐτῷ
βάλλ' ὄνυχας μεγάλους, ψυχὴ δ' Ἄιδόσδε κατῆεν
Τάρταρον ἐς κρυόενθ'. αἳ δὲ φρένας εὖτ' ἀρέσαντο
αἵματος ἀνδρομέου, τὸν μὲν ῥίπτασκον ὀπίσσω,
ἂψ δ' ὅμαδον καὶ μῶλον ἐθύνεον αὖτις ἰοῦσαι.
[Κλωθὼ καὶ Λάχεσίς σφιν ἐφέστασαν· ἣ μὲν ὑφήσσων
Ἄτροπος οὔ τι πέλεν μεγάλη θεός, ἀλλ' ἄρα ἥ γε
τῶν γε μὲν ἀλλάων προφερής τ' ἦν πρεσβυτάτη τε.]
πᾶσαι δ' ἀμφ' ἑνὶ φωτὶ μάχην δριμεῖαν ἔθεντο.
δεινὰ δ' ἐς ἀλλήλας δράκον ὄμμασι θυμήνασαι,
ἐν δ' ὄνυχας χεῖράς τε θρασείας ἰσώσαντο.
πὰρ δ' Ἀχλὺς εἱστήκει ἐπισμυγερή τε καὶ αἰνή,

---

249 *κυάνεοι* Ωb 250 cf. Wien. St. V 198 sq. *δεινωπαὶ* D, *δεινωποὶ* BFΨ, *δεινωταὶ* I, *δεινωτοὶ* GH *βλοσυραί* DI, superscr. *οι* GH, *βλοσυροί* BFΨ *δαφοιναί* DI, *δαφοινοίαι* (i. e. *δαφοινοί*, v. l. *αι*) GH, *δαφοινοί* FΨ, *δαφηνοί* B *ἄπληται* D, *ἄπλητοι* codd. cett. 252 *μεμάποιεν* EF, *μεμάρποιεν* libri cett.; *γε μεμάρποι* Deiters 254 *ψυχὴν δ' Ἄιδόσδε καθίει* Hermann *ψυχὴ* B, *ψυχὴν* DFΩbΨ *κατῆεν* l, *κατ' είεν* B, *κατεῖεν* libri cett. (e KATEIEN scriptura antiquiore natum, cf. quae dixi Dial. d. Hes. 453) 255 *εὖτ' ἀρέσαντο* E, *εὖτ' ἄρ' ἔσαντο* D, *εὖτ' ἄρ' ἔσσαντο* (*ἀρέσσαντο* B, *ἀρέσαντο* K) BKL, *εὖτ' ἂν ἔσαντο* F, *εὖτ' ἄρ' ἄσαντο* M, *αὐτὰρ ἔσσαντο* GH, *αὐτὰρ ἄσαντο* I, *εὖτ' ἀρέσαιντο* Peppmüller 257 *δ'* om. B 258—260 postea adiectos esse censuit Koechly; eidem interpolatori v. 261—263 tribuit Künneth 259 *ἥτε* B, *ἥδε* (*δ' ἥδε* H) Ωb post 263 iterum legitur 253 in Ψ (postea del. in E) 264 *ἐπὶ σμυγερή* EI Et. gen. v. *σμυγερή* *αἰνή*] *ἐχθρή* B

χλωρὴ ἀυσταλέη λιμῷ καταπεπτηυῖα,
γουνοπαχής, μακροὶ δ' ὄνυχες χείρεσσιν ὑπῆσαν.
τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον, ἐκ δὲ παρειῶν
αἷμ' ἀπελείβετ' ἔραζ'· ἡ δ' ἄπλητον σεσαρυῖα
εἱστήκει, πολλὴ δὲ κόνις κατενήνοθεν ὤμους,
δάκρυσι μυδαλέη. παρὰ δ' εὔπυργος πόλις ἀνδρῶν·
χρύσειαι δέ μιν εἶχον ὑπερθυρίοις ἀραρυῖαι
ἑπτὰ πύλαι· τοὶ δ' ἄνδρες ἐν ἀγλαΐῃς τε χοροῖς τε
τέρψιν ἔχον· τοὶ μὲν γὰρ ἐυσσώτρου ἐπ' ἀπήνης
ἦγοντ' ἀνδρὶ γυναῖκα, πολὺς δ' ὑμέναιος ὀρώρει·
τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἱλύφαζε
χερσὶν ἔνι δμῳῶν· ταὶ δ' ἀγλαΐῃ τεθαλυῖαι
πρόσθ' ἔκιον· τῇσιν δὲ χοροὶ παίζοντες ἕποντο.
τοὶ μὲν ὑπὸ λιγυρῶν συρίγγων ἵεσαν αὐδὴν
ἐξ ἁπαλῶν στομάτων, περὶ δέ σφισι ἄγνυτο ἠχώ.
αἳ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα.
ἔνθεν δ' αὖθ' ἑτέρωθε νέοι κώμαζον ὑπ' αὐλοῦ,
τοί γε μὲν αὖ παίζοντες ὑπ' ὀρχηθμῷ καὶ ἀοιδῇ
[τοί γε μὲν αὖ γελόωντες ὑπ' αὐλητῆρι ἕκαστος]
πρόσθ' ἔκιον· πᾶσαν δὲ πόλιν θαλίαι τε χοροί τε
ἀγλαΐαι τ' εἶχον. τοὶ δ' αὖ προπάροιθε πόληος
νῶθ' ἵππων ἐπιβάντες ἐθύνεον. οἱ δ' ἀροτῆρες

265 γρ. αὐαλέη marg. L, αὐαλέη τε Ωb (om. τε M) 266 γουνοπαγής ΩbM μικροὶ Ψb (superscr. μα L) 267 τῆς δ' B παρῄων? v. Leeuwen 268 ἄπληστον E 272 τ' οἱ δ' B, τῇδ' D ἀγλαΐῃς E, ἀγλαίαις ΩΨb τε χοροῖς] λαοῖς Ψb 274 ἦγον τ' LM ὀρυμαγδὸς B 275 δ' ὑπαιθομένων E 276 δμῳῶν D, δμώων codd. cett. ἀγλαίαι E, ἀγλαιησ F, ἀγλαίαις ΩbΨb τεθηλυῖαι DΩb, τε τ' αἰθαλυίαι B 277 τῇσι Ω(-ιν F)M, τοῖσιν E, τοῖσι K, τοῖσιν superscr. ῃσιν L 278 ὑπαὶ λιγυρῶν Ωb (πὸ superscr. G) ἀοιδὴν D 281 αὖ Ψb ἑτέρωθι Ωb 282 μὲν οὖν schol. Rav. Aristoph. Av. 1426 283 deest in Ωb αὐλητῆρος schol. Ven. Aristoph. l. c.

ἤρεικον χθόνα δῖαν, ἐπιστολάδην δὲ χιτῶνας
ἐστάλατ'. αὐτὰρ ἔην βαθὺ λήιον· οἵ γε μὲν ἤμων
αἰχμῆς ὀξείῃσι κορωνιόωντα πέτηλα,
βριθόμενα σταχύων, ὡς εἰ Δημήτερος ἀκτήν·
οἳ δ' ἄρ' ἐν ἐλλεδανοῖσι δέον καὶ ἔπιτνον ἀλωήν,
οἳ δ' ἐτρύγων οἴνας δρεπάνας ἐν χερσὶν ἔχοντες,

[οἳ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν ὑπὸ τρυγητήρων
λευκοὺς καὶ μέλανας βότρυας μεγάλων ἀπὸ ὄρχων,
βριθομένων φύλλοισι καὶ ἀργυρέῃς ἑλίκεσσιν.]

οἳ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν. παρὰ δέ σφισιν ὄρχος
χρύσεος ἦν, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο, 297
[σειόμενος φύλλοισι καὶ ἀργυρέῃσι κάμαξι,] 299
βριθόμενος σταφυλῇσι· μελάνθησάν γε μὲν αἵδε.
οἵ γε μὲν ἐτράπεον, τοὶ δ' ἤρυον· οἳ δ' ἐμάχοντο
πύξ τε καὶ ἑλκηδόν· τοὶ δ' ὠκύποδας λαγὸς ἤρευν
ἄνδρες θηρευταί, καὶ καρχαρόδοντε κύνε πρό,

[τοί γε μὲν αὖ παίζοντες ὑπ' αὐλητῆρι ἕκαστος] 298

---

287 διήρεικον Et. gen. v. ἐρείκειν 288 ἔστειλάν τ'· ἀτὰρ D, ἐστείλαντ'· αὐτὰρ Ωb 289 κορωνιόεντα DFΩb, κορωνιόεντα et κορυνιόεντα lectiones commemorat Ioannes Pediasimus 290 βριθόμεν' ἀσταχύων Ωb 291 ἔπιτνον superscr. ἔπιπλον GH, επιπνυον B ἀλωῇ Robinson, ἀμάλλας? Peppmüller 292 ἐνὶ E 293—295 seclusit Paley; 293 ὑπὸ τρυγητήρων — 296 ἐφόρευν Schoemann, 294 μεγάλων — 296 ἐφόρευν Heinrich eiecerunt 293 ἐν ταλάροις F ἐφόρεον I, ἔφερον Et. mag. v. ὄρχατος 294 deest in B καὶ] ἢ Ωb 295 ἀργυρέοις FΩb 297 πολλύφρονος (sic) ex Hom. ϑ 297 B [298] post 297 legitur in Gl (postea del. in G); quem post 298 collocavit Aldus, cf. quae dixi Herm. XXXIII 610; om. codd. cett. ('ἔν τισιν οὐ φέρεται ὁ στίχος' schol. Monac.) 299 seclusit Wilamowitz ἀργυρέοισι ΩbΨ 300 γε Triclinius, δὲ codd. αἵγε ΩKL 301 οἱ δὲ Ωb 302 λαγὸς Triclinius, λαγοὺς FΩbE, λαγὼς Ψb, λαγῶς D

ἱέμενοι μαπέειν, οἳ δ' ἱέμενοι ὑπαλύξαι·
πὰρ δ' αὐτοῖς ἱππῆες ἔχον πόνον, ἀμφὶ δ' ἀέθλῳ
δῆριν ἔχον καὶ μόχθον. ἐυπλεκέων δ' ἐπὶ δίφρων
ἡνίοχοι βεβαῶτες ἐφίεσαν ὠκέας ἵππους
ῥυτὰ χαλαίνοντες, τὰ δ' ἐπικροτέοντα πέτοντο
ἅρματα κολλήεντ', ἐπὶ δὲ πλῆμναι μέγ' ἀύτευν.
οἳ μὲν ἄρ' ἀίδιον εἶχον πόνον, οὐδέ ποτέ σφιν
νίκη ἐπηνύσθη, ἀλλ' ἄκριτον εἶχον ἄεθλον.
τοῖσιν δὲ προέκειτο μέγας τρίπος ἐντὸς ἀγῶνος,
χρύσειος, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο.
    ἀμφὶ δ' ἴτυν ῥέεν Ὠκεανὸς πλήθοντι ἐοικώς,
πᾶν δὲ συνεῖχε σάκος πολυδαίδαλον. οἳ δὲ κατ' αὐτὸν
κύκνοι ἀερσιπόται μεγάλ' ἤπυον, οἵ ῥά τε πολλοὶ
νῆχον ἐπ' ἄκρον ὕδωρ· παρὰ δ' ἰχθύες ἐκλονέοντο.

θαῦμα ἰδεῖν καὶ Ζηνὶ βαρυκτύπῳ, οὗ διὰ βουλὰς
Ἥφαιστος ποίησε σάκος μέγα τε στιβαρόν τε,
ἀρσάμενος παλάμῃσι. τὸ μὲν Διὸς ἄλκιμος υἱὸς
πάλλεν ἐπικρατέως· ἐπὶ δ' ἱππείου θόρε δίφρου,
εἴκελος ἀστεροπῇ πατρὸς Διὸς αἰγιόχοιο,
κοῦφα βιβάς· τῷ δ' ἡνίοχος κρατερὸς Ἰόλαος

---

304 μαρπέειν LM   ὑπαλύξαι ex ἀπ. m^2 rest. L, ἀπαλύξαι EK   305 ἀέθλων M, superscr. ω L   306 εὐπλοκέων Ψb   308 ἐπικροτέοντα D, ἐπικροτέοντο Ωb, ἐπικροτόεντα Ψ   309 ἀύτνευν D   310 sq. alterius recensionis esse (pro v. 305—309) censuit Deiters v. 310 partem priorem primitus eandem atque v. 305 fuisse ratus (πὰρ-πόνον)   310 ἀίδιον εἶχον LM, ἀίδιον ἔχον ΩK, ἀίδιον δὴ (metri causa illatum) ἔχον E, ἔμπεδον αἰὲν ἔχον Hermann, ἄφθιτον αἰὲν ἔχον ipse conieci   312 τοῖσιν δὲ E, τοῖσι δὲ καὶ codd. cett.   προέκειτο Nauck, προὔκειτο libri   τρίπος ΩbΨ, τρίπους D   316 γε M   317 παρὰ Ω, πὰρ Ψ   ἐκλονέοντο Triclinius, κλονέοντο Ω, δονέοντο Ψ   320 παλάμῃσι] ο, έ, οι (i. e. πολέμοισι) superscripta in E   323 δ' om. Ψ

δίφρου ἐπεμβεβαὼς ἰθύνετο καμπύλον ἅρμα.
ἀγχίμολον δέ σφ' ἦλθε θεὰ γλαυκῶπις Ἀθήνη,
καί σφεας θαρσύνουσα ἔπεα πτερόεντα προσηύδα·
χαίρετε, Λυγκῆος γενεὴ τηλεκλειτοῖο·
νῦν δὴ Ζεὺς κράτος ὔμμι διδοῖ μακάρεσσι ἀνάσσων
Κύκνον τ' ἐξεναρεῖν καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
ἄλλο δέ τοί τι ἔπος ἐρέω, μέγα φέρτατε λαῶν·
εὖτ' ἂν δὴ Κύκνον γλυκερῆς αἰῶνος ἀμέρσῃς,
τὸν μὲν ἔπειτ' αὐτοῦ λιπέειν καὶ τεύχεα τοῖο,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρην ἐπιόντα δοκεύσας,
ἔνθα κε γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
ὀφθαλμοῖσι ἴδῃς, ἔνθ' οὐτάμεν ὀξέι χαλκῷ·
ἂψ δ' ἀναχάσσασθαι· ἐπεὶ οὔ νύ τοι αἴσιμόν ἐστιν
οὔθ' ἵππους ἑλέειν οὔτε κλυτὰ τεύχεα τοῖο.
ὣς εἰποῦσ' ἐς δίφρον ἐβήσατο δῖα θεάων,
νίκην ἀθανάτῃς χερσὶν καὶ κῦδος ἔχουσα,
ἐσσυμένως. τότε δή ῥα διόγνητος Ἰόλαος
σμερδαλέον ἵπποισιν ἐκέκλετο· τοὶ δ' ὑπ' ὁμοκλῆς
ῥίμφ' ἔφερον θοὸν ἅρμα κονίοντες πεδίοιο.
ἐν γάρ σφιν μένος ἧκε θεὰ γλαυκῶπις Ἀθήνη
αἰγίδ' ἀνασσείσασα· περιστονάχησε δὲ γαῖα.
τοὶ δ' ἅμυδις προγένοντ' ἴκελοι πυρὶ ἠὲ θυέλλῃ,

---

325 *ἀγχίμολος* D, *ἀγχίμωλον* GH 326 *θαρσύνουσα Ϝέπεα* Lennep, *θαρσύνουσ' ἔπεα* DΨ, *φωνήσασ' ἔπεα* Ωb 329 *δύσειν* D 330 *δέ σοι* ΩbΨ (praeter M) *τι* om. D (*ἔπος* superscr. altero *π*), M 333 *αὐτὸν* Geel *Ἄρῃ'* Hermann *ἐπιόντα* D, *ἐπὶ νῶτα* codd. cett. 337 *ἑλάειν* E 338 *ἐπεβήσετο* Ψb 339 *ἀθανάταις* Ωb 340 (in v. 341 *σμερδαλέον θ'* scr.) eiecit Paley 341 *σμερδαλέον θ'* DIΨb Et. gen. v. *διόγνητος*, *σμερδαλέην θ'* GH (superscr. *ον* G) 344 *περιστονάχησε* scripsi, *περιστενάχησε δὲ* ΩΨb, *περιστονάχιζε δὲ* E m², *περὶ δ' ἐστοναχίζετο* E m¹ 345 *προγένονθ' ἴκελοι* D, *προγένοντο ἴκελοι* (-ος I) Ωb, *πρὸ γένονθ' ἴκελοι* M, *προσεγένονθ'* (*σε* in ras.) *ἴκελοι* L, *προσέγενθ' ἴκελοι* E

Κύκνος θ' ἱππόδαμος καὶ Ἄρης ἀκόρητος ἀυτῆς.
τῶν ἵπποι μὲν ἔπειθ' ὑπεναντίοι ἀλλήλοισιν
ὀξεῖα χρέμισαν, περὶ δέ σφισι ἄγνυτο ἠχώ.
τὸν πρότερος προσέειπε βίη Ἡρακληείη·
Κύκνε πέπον, τί νυ νῶιν ἐπίσχετον ὠκέας ἵππους
ἀνδράσιν, οἵ τε πόνου καὶ ὀιζύος ἴδριές εἰμεν;
ἀλλὰ παρὲξ ἔχε δίφρον ἐύξοον ἠδὲ κελεύθου
εἶκε παρὲξ ἰέναι. Τρηχῖνα δέ τοι παρελαύνω
ἐς Κήυκα ἄνακτα· ὃ γὰρ δυνάμι τε καὶ αἰδοῖ
Τρηχῖνος προβέβηκε, σὺ δ' εὖ μάλα οἶσθα καὶ αὐτός·
τοῦ γὰρ ὀπυίεις παῖδα Θεμιστονόην κυανῶπιν.
ὦ πέπον, οὐ μὲν γάρ τοι Ἄρης θανάτοιο τελευτὴν
ἀρκέσει, εἰ δὴ νῶι συνοισόμεθα πτολεμίζειν.
ἤδη μέν τέ ἕ φημι καὶ ἄλλοτε πειρηθῆναι
ἔγχεος ἡμετέρου, ὅθ' ὑπὲρ Πύλου ἠμαθόεντος
ἀντίος ἔστη ἐμεῖο, μάχης ἄμοτον μενεαίνων.
τρὶς μὲν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἠρείσατο γαίῃ
οὐταμένου σάκεος, τὸ δὲ τέτρατον ἤλασα μηρὸν
παντὶ μένει σπεύδων, διὰ δὲ μέγα σαρκὸς ἄραξα·
πρηνὴς δ' ἐν κονίῃσι χαμαὶ πέσεν ἔγχεος ὁρμῇ.
ἔνθα κε δὴ λωβητὸς ἐν ἀθανάτοισιν ἐτύχθη
χερσὶν ὑφ' ἡμετέρῃσι λιπὼν ἔναρα βροτόεντα.
ὣς ἔφατ'· οὐδ' ἄρα Κύκνος ἐυμμελίης ἐμενοίνα
τῷ ἐπιπειθόμενος ἐχέμεν ἐρυσάρματας ἵππους.

---

347 *τῶν* Guyet, *τῶν δ' Ω*, *τῶν θ' Ψ* Ioannes Pediasimus 348 *ὀξέα τ' ἐχρέμισαν περί τε* Guyet, *ὀξέα γ' ἐχρέμισαν* conieci, *ὀξέ' ἀναχρέμισαν*? Schulze *σφιν* DΨb 351 *ἐσμέν* E 354 *δυνάμι* scripsi, *δυνάμει* libri 355 *αὖ* Ψb 356 *θεμιστονοίην* Ωb, *θεμιστονέην* Ψb 358 *πολεμίζειν* ΩbΨb 361 *μάχην* D 364 *δὲ μέγα* altero *μ* superscr. E *σαρκὸς* D, *σάκκος* E, *σάκος* Ωb Ψb schol. par. 365 *ὁρμή* Ψb, *αἰχμῇ* superscr. *ὁρμῇ* m[1] E, *γρ. ἔγχεος αἰχμή* schol. par. 367 *ἐφ'* ΩbL

δὴ τότ' ἀπ' εὐπλεκέων δίφρων θόρον αἶψ' ἐπὶ γαῖαν
παῖς τε Διὸς μεγάλου καὶ Ἐνυαλίοιο ἄνακτος.
ἡνίοχοι δ' ἔμπλην ἔλασαν καλλίτριχας ἵππους·
τῶν δ' ὕπο σευομένων κανάχιζε πόσ' εὐρεῖα χθών.
ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
πέτραι ἀποθρῴσκωσιν, ἐπ' ἀλλήλῃς δὲ πέσωσι,
πολλαὶ δὲ δρύες ὑψίκομοι, πολλαὶ δέ τε πεῦκαι
αἴγειροί τε τανύρριζοι ῥήγνυνται ὑπ' αὐτέων
ῥίμφα κυλινδομένων, ἧος πεδίονδ' ἀφίκωνται,
ὣς οἳ ἐπ' ἀλλήλοισι πέσον μέγα κεκλήγοντες.
πᾶσα δὲ Μυρμιδόνων τε πόλις κλειτή τ' Ἰαωλκὸς
Ἄρνη τ' ἠδ' Ἑλίκη Ἄνθειά τε ποιήεσσα
φωνῇ ὕπ' ἀμφοτέρων μεγάλ' ἴαχον· οἳ δ' ἀλαλητῷ
θεσπεσίῳ σύνισαν· μέγα δ' ἔκτυπε μητίετα Ζεύς.
κὰδ δ' ἄρ' ἀπ' οὐρανόθεν ψιάδας βάλεν αἱματοέσσας,
σῆμα τιθεὶς πολέμοιο ἑῷ μεγαθαρσέι παιδί.
οἷος δ' ἐν βήσσῃς ὄρεος χαλεπὸς προϊδέσθαι
κάπρος χαυλιόδων φρονέει θυμῷ μαχέσασθαι
ἀνδράσι θηρευτῇς, θήγει δέ τε λευκὸν ὀδόντα
δοχμωθείς, ἀφρὸς δὲ περὶ στόμα μαστιχόωντι
λείβεται, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἑικτον,
ὀρθὰς δ' ἐν λοφιῇ φρίσσει τρίχας ἀμφί τε δειρήν·

---

370 *αἶψ'* ΩbΨ Ioannes Pediasimus, *ἂψ* D 373 suspectus Paleio *καναχὴν ἔχεν* Hermann, *κανάχει πόσσ'* Peppmüller *πόσ'* E, *πόδ'* (*δ* in ras.) D, *πᾶσ'* ΩbΨb (*ό* m. rec. superscr. M) 375 *ἀποθρώσκουσιν* ΩΨ *ἀλλήλαις δὲ* ΩΨ 376 *δρύες* restitui, *δρῦς* codd. (cf. Op. 509) 377 *αὐτέων* scripsi, *αὐτῶν* libri 378 *ἧος* scripsi, *εἵως* DΨ, *ἕως* Ωb *ἀφίκονται* Ψb 379 *κεκληγῶτες* E, *κεκληγότες* ΩbΨb 380 *ἰαολκὸς* D, *ἰωλκὸς* Ωb 384 removet Wilamowitz (cf. Hom. *Π* 459) 386 *βήσσῃσιν* D, *βήσσαις* Ωb *προσιδέσθαι* Ωb (m. rec. L) 387 post *φρονέει* aliquid (*δὲ*?) erasum E, *φρονέει δὲ* ΩΨb *μάχεσθαι* Ωb 388 *θηρευτῇς* E, *θηρευταῖς* D, *θηρευτῇσι* ΨbI, *θηρατῆρσι* GH 390 *ἔικτον* Goettling, *ἐίκτην* libri

τῷ ἴκελος Διὸς υἱὸς ἀφ' ἱππείου θόρε δίφρου.
ἦμος δὲ χλοερῷ κυανόπτερος ἠχέτα τέττιξ
ὄζῳ ἐφεζόμενος θέρος ἀνθρώποισιν ἀείδειν
ἄρχεται, ᾧ τε πόσις καὶ βρῶσις θῆλυς ἐέρση,
καί τε πανημέριός τε καὶ ἠώιος χέει αὐδὴν
ἴδει ἐν αἰνοτάτῳ, ὅτε τε χρόα Σείριος ἄζει,
τῆμος δὴ κέγχροισι πέρι γλῶχες τελέθουσι
τούς τε θέρει σπείρουσιν, ὅτ' ὄμφακες αἰόλλονται,
οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος·
τὴν ὥρην μάρναντο, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.

ὡς δὲ λέοντε δύω ἀμφὶ κταμένης ἐλάφοιο
ἀλλήλοις κοτέοντες ἐπὶ σφέας ὁρμήσωσι,
δεινὴ δέ σφ' ἰαχὴ ἄραβός θ' ἅμα γίγνετ' ὀδόντων·

οἳ δ' ὥς τ' αἰγυπιοὶ γαμψώνυχες, ἀγκυλοχῆλαι,
πέτρῃ ἔφ' ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται
αἰγὸς ὀρεσσινόμου ἢ ἀγροτέρης ἐλάφοιο
πίονος, ἥν τ' ἐδάμασσε βαλὼν αἰζήιος ἀνὴρ
ἰῷ ἀπὸ νευρῆς, αὐτὸς δ' ἀπαλήσεται ἄλλῃ
χώρου ἄιδρις ἐών· οἳ δ' ὀτραλέως ἐνόησαν,
ἐσσυμένως δέ οἱ ἀμφὶ μάχην δριμεῖαν ἔθεντο·
ὣς οἳ κεκλήγοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.

393—401 inter 442 et 443 collocari iussit Peppmüller 396 *ἀοιδὴν* Ψb 397 *ὅτε τε* Et. gen. v. *ἴδος*, *ὅτε* ΩbΨb, *ὅτε περ* E, *ὁπότε* D 398 *ἦμος* schol. par. Ioannes Pediasimus *τελέθωσι* DE 399 *σπείρωσιν* D *αἰόλλονται* D, *αἰόλλοντο* Ωb, *αἰόλονται* Ψb, *αἰωλῶνται* E 402—404 alius recensionis atque v. 405—411 esse censuit Goettling 403 *ὁρμήσουσι* Ωb 404 *γίνετ'* libri 405 *ἀγκυλοχῆλαι* v. Zacher Phil. LVII 23, *ἀγκυλοχεῖλαι* codd. 406 *κράζοντε* Ωb *μάχωνται* scribendum cf. Hom. *Π* 429, *μάχονται* D, *μάχεσθον* ΩbM, *μαχέσθην* L, *κλάζοντ'* (*λ* ex *ρ* corr.) *ἐμαχέσθην* E 409 *ἀπὸ νευρῆς* altero *ν* superscr. (m. rec. del.) E *ἀπαλήσεται* (*α*, *το* m. al.) L, *ἀπαλήσατο* M, *ἀπονίσσεται* I, *ἀποχήσεται* Et. mag. v. *ἄιδρις* 412 *κεκλήγοντες* D, *κεκληγῶτες* E, *κεκληγότες* ΩbΨb

ἔνθ' ἦ τοι Κύκνος μὲν ὑπερμενέος Διὸς υἱὸν
κτεινέμεναι μεμαὼς σάκει ἔμβαλε χάλκεον ἔγχος,
οὐδ' ἔρρηξεν χαλκός· ἔρυτο δὲ δῶρα θεοῖο.
Ἀμφιτρυωνιάδης δέ, βίη Ἡρακληείη,
μεσσηγὺς κόρυθός τε καὶ ἀσπίδος ἔγχεϊ μακρῷ
αὐχένα γυμνωθέντα θοῶς ὑπένερθε γενείου
ἤλασ' ἐπικρατέως· ἀπὸ δ' ἄμφω κέρσε τένοντε
ἀνδροφόνος μελίη· μέγα γὰρ σθένος ἔμπεσε φωτός.
ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ὅτε πεύκη
ἠλίβατος, πληγεῖσα Διὸς ψολόεντι κεραυνῷ·
[ὣς ἔριπ' · ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.]
τὸν μὲν ἔπειτ' εἴασε Διὸς ταλακάρδιος υἱός,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρην προσιόντα δοκεύσας,
δεινὸν ὁρῶν ὄσσοισι, λέων ὣς σώματι κύρσας,
ὅς τε μάλ' ἐνδυκέως ῥινὸν κρατεροῖς ὀνύχεσσι
σχίσσας ὅττι τάχιστα μελίφρονα θυμὸν ἀπηύρα·
ἐμ μένεος δ' ἄρα τοῦ γε κελαινὸν πίμπλαται ἦτορ·
γλαυκιόων δ' ὄσσοις δεινὸν πλευράς τε καὶ ὤμους
οὐρῇ μαστιόων ποσσὶν γλάφει, οὐδέ τις αὐτὸν
ἔτλη ἐς ἄντα ἰδὼν σχεδὸν ἐλθέμεν οὐδὲ μάχεσθαι·
τοῖος ἄρ' Ἀμφιτρυωνιάδης, ἀκόρητος ἀυτῆς,
ἀντίος ἔστη Ἄρηος, ἐνὶ φρεσὶ θάρσος ἀέξων,
ἐσσυμένως· ὃ δέ οἱ σχεδὸν ἤλυθεν ἀχνύμενος κῆρ·
ἀμφότεροι δ' ἰάχοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.

---

415 *χαλκός* Seleucus; *χαλκός* superscr. *όν* H, *χαλκόν* superscr. *ός* GL, *χαλκόν* codd. cett. 418 *αὐχένι* Ψb 421 *πεύκη* superscr. m^1 *ετρ* (= *πέτρη*) E, *πέτρη* libri cett. 423 suspectus Wolfio 425 *αὐτὸν . . . ἐπιόντ' ἐδόκευσεν*? Peppmüller *ἄρηα* E, *ἄρεα* L *προσιέντα* M, *προιόντα* GH, *ἐπιόντα* Ioannes Pediasimus 429 *ἐν* (*ἐμ* L. Dindorf) *μένεος* J. F. v. Meyer, *ἐμμενέως* codd. 430 *ὄσσοισι* ΩbΨ 432 ΕΛΘΕΜΕ<ν A, *ἐλθεῖν* ΩΨ 434 *ἔστη ἄρηος* in ras. O, cf. 444; *ἄρηος ἔστη* N, *ἄρεος ἔστη* ΩΨ, ΑΝΤΙΟC . . . . .ε>CTH A 435 *ἀχθόμενος κῆρ* Ωb

ὡς δ' ὅτ' ἀπὸ μεγάλου πέτρη πρηῶνος ὀρούσῃ,
μακρὰ δ' ἐπιθρώσκουσα κυλίνδεται, ἡ δέ τε ἠχῇ
ἔρχεται ἐμμεμαυῖα, πάγος δέ οἱ ἀντεβόλησεν
ὑψηλός· τῷ δὴ συνενείκεται, ἔνθα μιν ἴσχει·
τόσσῃ ὃ μὲν ἰαχῇ βρισάρματος οὔλιος Ἄρης
κεκληγὼς ἐπόρουσεν· ὃ δ' ἐμμαπέως ὑπέδεκτο.
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
ἀντίη ἦλθεν Ἄρηος ἐρεμνὴν αἰγίδ' ἔχουσα·
δεινὰ δ' ὑπόδρα ἰδοῦσα ἔπεα πτερόεντα προσηύδα·
Ἄρες, ἔπισχε μένος κρατερὸν καὶ χεῖρας ἀάπτους·
οὐ γάρ τοι θέμις ἐστὶν ἀπὸ κλυτὰ τεύχεα δῦσαι
Ἡρακλέα κτείναντα, Διὸς θρασυκάρδιον υἱόν·
ἀλλ' ἄγε παῦε μάχην, μηδ' ἀντίος ἵστασ' ἐμεῖο.
ὣς ἔφατ'· ἀλλ' οὐ πεῖθ' Ἄρεος μεγαλήτορα θυμόν,
ἀλλὰ μέγα ἰάχων φλογὶ εἴκελά τ' ἔγχεα πάλλων
καρπαλίμως ἐπόρουσε βίῃ Ἡρακληείῃ
κακτάμεναι μεμαώς· καί ῥ' ἔμβαλε χάλκεον ἔγχος,
σπερχνὸν παιδὸς ἑοῦ κοτέων πέρι τεθνηῶτος,
ἐν σάκεϊ μεγάλῳ. ἀπὸ δὲ γλαυκῶπις Ἀθήνη
ἔγχεος ὁρμὴν ἔτραπ' ὀρεξαμένη ἀπὸ δίφρου.
δριμὺ δ' Ἄρην ἄχος εἷλε· ἐρυσσάμενος δ' ἄορ ὀξὺ
ἔσσυτ' ἐφ' Ἡρακλέα κρατερόφρονα· τὸν δ' ἐπιόντα

---

437 ἀπὸ μεγάλου superscr. altero μ E   ὀροῦσα Ψb (ὀροῦσσα H, e corr. G)   438 ἠχῇ Ψb, ἠχή codd. cett.   439 ЄΜΒЄΒΑΥΙ<α A   445 ἰδοῦσα Ψ, ἰδοῦσ' Ω   446 ἔπισχε D, ἐπίσχε in ἔπισχε mut. m² E, ἐπίσχε Ωb, ἐπίσχες Ψb   448 Ἡρακλέην Nauck   449 μάχην Paley, μάχης codd.   450 πεῖθεν Ψ   ἄρηος E   451 μέγ' DE   εἴκελα NO, ἴκελα ΩΨ   τ' ἔγχεα Hecker, τεύχεα libri   453 κακτάμεναι superscr. κ D, κακκτάμεναι E, κατακτάμεναι Ωb   454 σπερχνὸν superscr. γρ. ὦς D   τεθνειῶτος DEIΨb, τεθνεῶτος H   456 ἐτράπετ' D   457 Ἄρην NO, cf. v. 59, 333, 425; ἄρη' Ψ, ἄρη DI, ἄρ' GH   458 ἐφ' Ἡρακλέα (Ἡρακλέην? Nauck) κρατερόφρονα D Ioannes Pediasimus, ἐφ' ἡρακλῆι κρατερόφρονι codd. cett.

Ἀμφιτρυωνιάδης, δεινῆς ἀκόρητος ἀυτῆς,
μηρὸν γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
οὔτασ' ἐπικρατέως· διὰ δὲ μέγα σαρκὸς ἄραξε
δούρατι νωμήσας, ἐπὶ δὲ χθονὶ κάββαλε μέσσῃ.
τῷ δὲ Φόβος καὶ Δεῖμος ἐύτροχον ἅρμα καὶ ἵππους
ἤλασαν αἶψ' ἐγγύς, καὶ ἀπὸ χθονὸς εὐρυοδείης
ἐς δίφρον θῆκαν πολυδαίδαλον· αἶψα δ' ἔπειτα
ἵππους μαστιέτην· ἵκοντο δὲ μακρὸν Ὄλυμπον.
υἱὸς δ' Ἀλκμήνης καὶ κυδάλιμος Ἰόλαος
Κύκνον σκυλεύσαντες ἀπ' ὤμων τεύχεα καλὰ
νίσοντ'· αἶψα δ' ἔπειτα πόλιν Τρηχῖνος ἵκοντο
ἵπποις ὠκυπόδεσσιν. ἀτὰρ γλαυκῶπις Ἀθήνη
ἐξίκετ' Οὔλυμπόν τε μέγαν καὶ δώματα πατρός.
Κύκνον δ' αὖ Κῆυξ θάπτεν καὶ λαὸς ἀπείρων,
οἵ ῥ' ἐγγὺς ναῖον πόλιας κλειτοῦ βασιλῆος
[*Ἄνθην Μυρμιδόνων τε πόλιν κλειτήν τ' Ἰαωλκὸν*
Ἄρνην τ' ἠδ' Ἑλίκην· πολλὸς δ' ἠγείρετο λαός,]
τιμῶντες Κήυκα, φίλον μακάρεσσι θεοῖσιν.
τοῦ δὲ τάφον καὶ σῆμ' ἀιδὲς ποίησεν Ἄναυρος
ὄμβρῳ χειμερίῳ πλήθων· τὼς γάρ μιν Ἀπόλλων
Λητοΐδης ἤνωξ', ὅτι ῥα κλειτὰς ἑκατόμβας
ὅς τις ἄγοι Πυθοῖδε βίῃ σύλασκε δοκεύων.

---

459 ΔΕΙΝΟϹ A 461 *δὲ μέγα* altero *μ* m^1 superscr. E *σαρκὸς* A (ϹΑΡΚ<*ος*) *Ω*, *σάκος* *Ψ* Ioannes Pediasimus *α*>ΡΑ-ΞΕΝ A 462 *κάμβαλε* (e corr. I) *Ω*b ΜΕϹϹΗ A 466 ΜΑΚ-Λ<*ον* P 468 *ἐσκύλευσαν καὶ* D 469 *νίσοντ'* *Ψ* (praeter M), *νίσσοντ'* *Ω*M 470 ΑΤΑ<*ρ* P, *ἀτὰρ* DE, *αὐτὰρ* *Ω*b*Ψ*b 473 ΠΟ-ΛΙΑϹ P, *πόληας* *ΩΨ*b, *πόλιος* E 474 sq., quos P*ΩΨ* exhibent, recentioris originis esse censuit Goettling 474 ΙΑΩΛΚΟΝ P, *Ἰαωλκὸν* *Ψ*, *ἰαολκὸν* D, *ἰαβηλὸν* *Ω*b (addito *ωλκὸν* I) 475 *πουλὺς* E *ε*>ΠΕΙΓΕΡ<.*το* P (*ἐπαγείρατο* Blass) 479 *ἤνωγ'* *Ω*b 480 *πυθῶδε* M, *Πυθώδε* Goettling ΒΙΗϹΥ<*λασκε* P

ΑΠΟΣΠΑΣΜΑΤΑ

NOTAE PAPYRORUM

C = papyrorum Flinders Petrie tab. III 3 (Fragm. 21)

D = papyrus musei Berolinensis 7497 saec. II (Fragm. 7 b)

A = papyrus graeca bibl. Argentinensis 55 saec. II (Fragm. 81)

B = papyrus musei Berolinensis 9739 saec. II (Fragm. 94)

E = papyrus musei Berolinensis 10560 saec. III (Fragm. 96)

F = papyrus musei Berolinensis 9777 saec. IV (Fragm. 135)

* * *

G = papyrus Oxyrhynch. 421 saec. II (Fragm. dub. 245)

ΚΑΤΑΛΟΓΟΣ. ΗΟΙΑΙ

1] Menander *περὶ ἐπιδεικτ.* 628 (Rhet. Gr. IX 268, 15 W.) *πολλὰ δὲ αὐτῷ (Ἡσιόδῳ) ἐν τοῖς Καταλόγοις τῶν γυναικῶν εἴρηται περὶ θεῶν συνουσίας καὶ γάμου*

1b (20)[1])] Servius in Vergil. Aen. VII 268 *antiquis semper mos fuit meliores generos rogare .... Hesiodus etiam περὶ γυναικῶν inducit multas heroidas optasse nuptias virorum fortium*

2 (21)] Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 1086 *ὅτι Προμηθέως καὶ Πανδώρας υἱὸς Δευκαλίων, Ἡσίοδος ἐν πρώτῳ Καταλόγων φησί, καὶ ὅτι Δευκαλίωνος καὶ Πύρρας Ἕλλην*
cf. Filastrius div. her. lib. 111, 4 (p. 76, 2 M.) et 111, 2 (p. 75, 16 M.)

3 (22)] Schol. Ambros. et Harl. Hom. *κ* 2 *Δευκαλίων, ἐφ' οὗ ὁ κατακλυσμὸς γέγονε, Προμηθέως μὲν ἦν υἱός, μητρὸς δέ, ὡς οἱ πλεῖστοι λέγουσι, Κλυμένης, ὡς δὲ Ἡσίοδος, Προνόης, ὡς δὲ Ἀκουσίλαος, Ἡσιόνης τῆς Ὠκεανοῦ καὶ Προμηθέως*

---

1 *αὐτῷ* Walz, *αὐτῶν* vel *αὐτοῖς* codd.
2 *Πανδώρας*] *Προνοίης* (*Προμηθέως καὶ Πύρρας* retinens) Sittl *Δευκαλίωνος* Marckscheffel, *προμηθέως* schol. Laur.
3 *Προνόης* Dindorf, *πρυνόης* Harl., *πρυνείης* Ambr.

---

1) numeri uncis inclusi sunt editionis meae anni 1884

4 (24)] *Κούρη δ' ἐν μεγάροισιν ἀγαυοῦ Δευκαλίωνος*
Πανδώρη Διὶ πατρί, θεῶν σημάντορι πάντων,
μειχθεῖσ' ἐν φιλότητι τέκεν Γραῖκον μενεχάρμην

Ioannes Laurentius Lyd. de mens. I 13 (p. 7, 22 W.) *τοσούτων οὖν ἐπιξενωθέντων τῆς Ἰταλίας, ὥς περ ἐδείχθη, Λατίνους μὲν τοὺς ἐπιχωριάζοντας, Γραικοὺς δὲ τοὺς ἑλληνίζοντας ἐκάλουν, ἀπὸ Λατίνου τοῦ ἄρτι ἡμῖν ῥηθέντος καὶ Γραίκου, τῶν ἀδελφῶν, ὥς φησιν Ἡσίοδος ἐν Καταλόγοις·* Theog. 1013 '*Ἄγριον ἠδὲ Λατῖνον*'. 1—3 '*κούρη — μενεχάρμην*'

cf. Filastrius div. her. lib. 111, 6 (p. 76, 13 M.)

5 (25)] *Ἣ δ' ὑποκυσαμένη Διὶ γείνατο τερπικεραύνῳ*
υἷε δύω, Μάγνητα Μακηδόνα θ' ἱππιοχάρμην,
οἳ περὶ Πιερίην καὶ Ὄλυμπον δώματ' ἔναιον

Constantinus Porphyr. de them. 2 p. 48 B. *Μακεδονία ἡ χώρα (ὠνομάσθη) ἀπὸ Μακεδόνος τοῦ Διὸς καὶ Θυίας τῆς Δευκαλίωνος, ὥς φησιν Ἡσίοδος ὁ ποιητής·* '*ἣ δ' — ἔναιον*'

6 (26)] *Μάγνης δ' αὖ Δίκτυν τε καὶ ἀντίθεον Πολυδέκτεα*

Grammaticus ('Herodianus') de soloec. et barb. (post Lex. Vindob.) p. 310, 5 N. *περὶ δὲ διαίρεσιν (βαρβαρίζουσιν), ὡς ὅταν Ἡσίοδος λέγῃ·* '*Μάγνης δὲ κατ' αὐτὸ καὶ ἀντίθεον Πολυδεύκεα*'

7 (27)] *Ἕλληνος δ' ἐγένοντο φιλοπτολέμου βασιλῆος*

---

4 recentioris originis esse arbitratur Niese, sed cf. Wilamowitz Herm. XXXIV 610 sq. *μιχθεῖσ'* libri

5, 2 *Μακηδόνα* Lehmann, *Μακεδόνα* codd.

6 *δ' αὖ Δίκτυν τε* Goettling, *δ' αὖ Δίκτην τε* cod. Leidensis Valckenaerii, *δὲ κατ' αὐτὸ* libri (Nauckii) *Πολυδέκτεα* (vel *Πολυδέκτην*) Nauck, *Πολυδεύκεα* libri

7, 1 *φιλοπτολέμου βασιλῆος* schol. Lycophr., *φιλοπτόλεμοι βασιλῆες* schol. Iamblichi, *θεμιστοπόλου βασιλῆος* Tzetzes in

Δῶρός τε Ξοῦθός τε καὶ Αἴολος ἱππιοχάρμης.

Αἰολίδαι δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες
Κρηθεὺς ἠδ' Ἀθάμας καὶ Σίσυφος αἰολόμητις
Σαλμωνεύς τ' ἄδικος καὶ ὑπέρθυμος Περιήρης

1. 2 Plutarchus Mor. p. 747 f καὶ '"Ελληνος — ἱππιοχάρμης'

Schol. Lycophr. 284 Δωριέα δὲ στρατὸν λέγει τοὺς Ἕλληνας ἀπὸ Δώρου τοῦ Ἕλληνος υἱοῦ, ὡς καὶ Ἡσίοδος· '"Ελληνος — ἱππιοχάρμης'

cf. Schol. Thucyd. I 3 Schol. Hom. κ 2 Iamblichus Vit. Pyth. 242 (p. 168, 13 sq. N.) Schol. Iamblich. l. c. p. 197, 2 N. Tzetzes Exeg. Iliad. 63, 12 et 134, 2 H.

2 Herodianus περὶ μον. λέξ. p. 42 (II 947, 24 L.) Ξοῦθος τὸ κύριον· 'Δῶρός τε Ξοῦθός τε'

3—5 Schol. Pind. Pyth. IV 253 καὶ Ἡσίοδος· 'Αἰολίδαι — Περιήρης'

1—5 Tzetzes in Lycophr. 284 Δωριεὺς στρατὸς] ὁ Ἑλληνικός, ἀπὸ Δώρου τοῦ Ἕλληνος παιδός, ὥς φησιν Ἡσίοδος ἐν τῇ ἡρωικῇ γενεαλογίᾳ· '"Ελληνος — Περιήρης'

7b] * * *

βοῦς ἐλάσα<ς
ἔγνω ὁ μ<ὲν
βουλῇ Ἀθ<ηναίης
ἀθανάτων

Lycophr. cod. schol. Exeg. Iliad. 134, *θεμιστοπόλου* (superscr. *οι*) *βασιλῆος* (superscr. *ες*) cod. Exeg. Iliad. 63; *θεμιστοπόλοι βασιλῆες* Plutarchus 2 *αἰόλος* codd. Plutarchi Iamblichus schol. Iamblichi schol. Lycophr. cod. Exeg. Iliad. utroque l. 3—5 Tzetzam e schol. Pindari cum v. 1 sq. suo arbitratu in schol. Lycophr. coniunxisse iudicat Sittl 3 *Αἰολίδου . . . θεμιστοπόλου βασιλῆος* Tzetzae codd. pars 4 *αἰολόμητις* Nauck, *αἰολομήτης* volgo 5 *τ'* om. schol. Pind.

7[b], 2 *μ<ὲν* Crönert

ἔσσεσθαι π
ἣ δὲ Πο̣σ̣ε̣<ιδάωνι θεῶν, ἀνδρῶν δὲ μιγεῖσα
Γλαύκῳ ἔτ̣<ικτε . . . . . . ἀμύμονα Βελλεροφόντην
ἔξοχον ἀνθ̣<ρώπων
τῷ δὲ καὶ ἠ<ιθέῳ ἔτ' ἐόντι πατὴρ πόρεν ἵππον
ὠκύτατον
πάντη ἀν<αστρωφᾶν
σὺν τῷ πῦ<ρ πνείουσαν ἑλὼν κατέπεφνε Χίμαιραν,
γῆμε δὲ π<αῖδα φίλην μεγαλήτορος Ἰοβάταο
αἰδοίου βασ<ιλῆος
κοίρανος α . . .
ἣ τέ<κε

* * *

Papyrus musei Berolinensis 7497 saec. alterius (= D) ed. Schubart et Wilamowitz, Berl. Klassikertexte V 1, 45

8 (28)] Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 266 *οἱ ἀπὸ Δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον Θεσσαλίας, ὥς φησιν Ἑκαταῖος καὶ Ἡσίοδος*

9 (29)] Schol. Laur. Apoll. Rhod. Arg. *Α* 482 *Ἀλωιάδας*] . . . *Ἡσίοδος δὲ Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν, ταῖς δὲ ἀληθείαις Ποσειδῶνος καὶ Ἰφιμεδείας ἔφη, καὶ Ἄλον, πόλιν Αἰτωλίας, ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι*

10 (30)] Suidas (I 2 p. 387, 4 B.) (= Et. Tittm.) v. *Ἐπιάλτην· Ὅμηρος καὶ Ἡσίοδος· καὶ οἱ Ἀττικοὶ τὸν δαίμονα· διὰ δὲ τοῦ φ̄ τὸν ἄνδρα Ἐφιάλτην. καὶ τὸν ῥιγοπύρετον λεγόμενον*

---

6 rest. Wilamowitz 7 rest. idem, *ἀμύμονα* addidi ex Hom. Z 155 9 *ἠ<ιθέῳ-ἵππον* supplevi, cf. Fr. 245,17 11 ΠΑΝΤΗΙ D *ἀν<αστρωφᾶν* e Scuti v. 121 Wilamowitz 12 rest. idem, qui *ἐδάμασσε* recepit; *κατέπεφνε* dedi ex Hom. Z 183 cf. Pind. Ol. XIII 90 13 *π<αῖδα φίλην* et *Ἰοβάταο* Wilamowitz, *μεγαλήτορος* addidi

11 (31)] Ἶν δ' αὐτῷ θανάτου ταμίης, ὅτε μέλλοι ὀλέσθαι
Schol. Laur. Apoll. Rhod. Arg. Δ 57 τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης, παρὰ Διὸς εἰληφότα τὸ δῶρον ἶν αὐτῷ ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαι
Apollonius Dysc. de pron. 106 A B. τῇ 'τίν' σύζυγος ἡ 'ἵν' τοῦ τ̄ ἀρθέντος. Ἡσίοδος· 'ἶν — ταμίης'

12 (32)] Schol. Ven. A Hom. Λ 750 Ἀκτορίωνε Μολίονε] (ἡ διπλῆ), ὅτι ἐντεῦθεν Ἡσίοδος Ἄκτορος κατ' ἐπίκλησιν καὶ Μολιόνης αὐτοὺς γεγενεαλόγηκεν, γόνῳ δὲ Ποσειδῶνος
Apollonius Lex. Hom. v. Μολίονε· ... ἀπὸ γὰρ μητρὸς οὐδένα σημαίνει Ὅμηρος. Ἡσίοδος δὲ ὡς Μολι⟨ό⟩νης υἱοὺς γεγονότας παραδίδωσι

13 (32)] Porphyrius Quaest. Hom. ad Iliad. pert. 265, 8 Schr. (Schol. Ven. A Hom. Ψ 638 sq.) Ἀρίσταρχος δὲ διδύμους (τοὺς Μολίονας) ἀκούει οὐχ οὕτως ὡς ἡμεῖς ἐν τῇ συνηθείᾳ νοοῦμεν, οἷοι ἦσαν καὶ οἱ Διόσκοροι, ἀλλὰ τοὺς διφυεῖς, δύο ἔχοντας σώματα, Ἡσιόδῳ μάρτυρι χρώμενος, καὶ τοὺς συμπεφυκότας ἀλλήλοις
Schol. Townl. Hom. Λ 710 ἢ ὅτι τερατώδεις τινὲς ἦσαν, ὡς Ἡσίοδος, ἄμφω ἐν ἑνὶ σώματι ὄντες
cf. Eustathius Hom. 1321, 19 et 882, 26

14 (33)] Περικλύμενόν τ' ἀγέρωχον
ὄλβιον, ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων
παντοῖ'· ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκεν
αἰετός, ἄλλοτε δ' αὖτε πελέσκετο, θαῦμα ἰδέσθαι,

---

11 ἶν δ' αὐτῷ Apollonius Dysc., ἐν αὐτῷ Apollonii Rhod. cod. Laur. ὅτε μέλλοι ὀλέσθαι 'Eudociae' Violarii compilator (Constant. Palaeocappa), ὅτε θέλοι ὀλέσθαι schol. Laur., ὅτ' ὀφέλλοι ὀλέσθαι C. Schenkl, ὅθ' ἕλοιτ' ἀπολέσθαι Peppmüller

μύρμηξ, ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα,
ἄλλοτε δ' αἰνὸς ὄφις καὶ ἀμείλιχος. εἶχε δὲ δῶρα
παντοῖ', οὐκ ὀνομαστά, τά μιν καὶ ἔπειτα δόλωσε
βουλῇ 'Αθηναίης

Schol. Laur. Apoll. Rhod. Arg. *A* 156 de Periclymeno *Ἡσίοδος δὲ μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν ἐπικαθεσθῆναι τῷ ὀμφαλῷ τοῦ ζυγοῦ τῶν Ἡρακλέους ἵππων, βουλόμενον εἰς μάχην καταστῆναι τῷ ἥρωι, τὸν δὲ Ἡρακλέα καιρίως αὐτὸν κατατοξεῦσαι τῆς 'Αθηνᾶς ὑποδειξάσης. φησὶ δὲ οὕτως· 'Περικλύμενον — 'Αθηναίης'*
cf. Schol. Ven. A Hom. *B* 336 Schol. Hom. *λ* 286 Eustathius Hom. 1685, 62

15 (34)] *Κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς*
ἕνδεκα, δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ
ξεῖνος ἐὼν ἐτύχησε παρ' ἱπποδάμοισι Γερηνοῖς

1—3 Stephanus Byz. v. *Γερηνία· πόλις Μεσσηνίας, ἔνθα, φασί, Νέστωρ ὁ Πύλιος ἐτράφη ἢ φυγὰς ἤχθη. Ἡσίοδος ἐν α' Καταλόγων 'κτεῖνε — Γερήνοις', ἀπὸ εὐθείας τῆς Γέρηνος*
cf. Eustathius Hom. 231, 29 Schol. Ven. A Hom. *B* 336
2 sq. Schol. Hom. *γ* 68 *Γερήνιος ἱππότα Νέστωρ] κατὰ μὲν Ἡσίοδον ὁ ἐν Γερήνοις ἀνατραφείς*
3 Stephanus Byz. v. *Τάβαι· . . Ἡσίοδος 'παρ' ἱπποδάμοισι Γερηνοῖς'*

16 (35)] *Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ*

Stephanus Byz. v. *Γερηνία· καὶ αὖθις 'Νέστωρ — Γερήνῳ'*
cf. Eustathius Hom. 231, 29 (Anecd. Par. III 191, 7 Cr.)

14, 5 aut lacunam post *φῦλα* statuendam aut *δῦνε* (pro *δ' αὖτε*) scribendum esse censuit Koechly; *μελισσέων ἄγν' ἀνὰ φῦλα* Wilamowitz; *μέλισσ' ἦν ἀγλαόφυλος* Ludwich 6 *δ' αἰνὸς* Marckscheffel, *δεινὸς* schol. Laur.
15, 3 *Γερήνοις* Stephanus v. *Γερηνία* Eustathius

17 (36)] *Τηλεμάχῳ δ' ἄρ' ἔτικτεν ἐύζωνος Πολυκάστη,*
Νέστορος ὁπλοτάτη κούρη Νηληιάδαο,
Περσέπολιν μειχθεῖσα διὰ χρυσέην Ἀφροδίτην

Eustathius Hom. 1796, 39 *αὐτοῦ (Τηλεμάχου) δὲ καὶ Πολυκάστης τῆς Νέστορος Περσέπτολιν (γενεαλογοῦσιν), ὡς Ἡσίοδος 'Τηλεμάχῳ — Ἀφροδίτην'*

18 (39)] Schol. Hom. *μ* 69 *Τυρὼ ἡ Σαλμωνέως ἔχουσα δύο παῖδας ἐκ Ποσειδῶνος, Νηλέα τε καὶ Πελίαν, ἔγημε Κρηθέα. καὶ ἴσχει παῖδας ἐξ αὐτοῦ τρεῖς, Αἴσονα καὶ Φέρητα καὶ Ἀμυθάονα. Αἴσονος δὲ καὶ Πολυμήδης καθ' Ἡσίοδον γίνεται Ἰάσων, κατὰ δὲ Φερεκύδην ἐξ Ἀλκιμέδης*

19 (40)] *Αἴσων, ὃς τέκεθ' υἱὸν Ἰήσονα, ποιμένα λαῶν,*
ὃν Χίρων ἔθρεψ' ἐνὶ Πηλίῳ ὑλήεντι

Schol. Pind. Nem. III 92 *ὅτι δὲ ἐτράφη παρὰ τῷ Χίρωνι ὁ Ἰάσων, Ἡσίοδός φησιν· 'Αἴσων — ὑλήεντι'*

20 (41)] Apollodorus III 9, 2, 7 (p. 138, 6 W.) *Ἡσίοδος δὲ καί τινες ἕτεροι τὴν Ἀταλάντην οὐκ Ἰάσου ἀλλὰ Σχοινέως εἶπον, Εὐριπίδης δὲ Μαινάλου, καὶ τὸν γήμαντα αὐτὴν οὐ Μελανίωνα, ἀλλὰ Ἱππομένην*

Philodemus *περὶ εὐσεβ.* p. 60 G. *εἰ καὶ Ἀτα⟨λάντη⟩ ἡ Σχοινέως, ⟨ὡς καὶ⟩ Ἡσίοδος λέ⟨γει*

17, 2 *Νηληιάδαο* Heinsius, *Νηληιάδεω* Eustathius 3 *Περσέπτολιν* Eustathius, corr. Heinsius *μιχθεῖσα* Eustathius *χρυσέην* Goettling, *χρυσῆν* Eustathius

18 *Πολυμήδης* ex Apollodoro (I 9, 16, 1) dubitans Lehmann, *Πολυμήλας* schol. Hom.

19, 2 *θρέψεν Χείρων* Spitzner, *χείρων ἔθρεψ'* D, *ἔθρεψεν* BV *Χίρων* cf. ad Theog. 1001

20 de hoc proximisque fragmentis cf. Robert Herm. XXII 445 sqq. CΧΟΝΘΩC papyrus, corr. Bergk ⟨*ὡς* Gomperz, *καὶ*⟩Bergk

21 (42. 140)] * * *

ι τοῖο ἄνακτος
ι ποδωκὴς δῖ' Ἀταλάντη
Σχοινῆος θυγάτηρ,⟩ Χαρίτων ἀμαρύγματ' ἔχουσα
ἀναίνετο φῦλον ὁμοῖ⟨ον
ἀνδρῶν βουλομένη φεύγε⟩ιν γάμον ἀλφηστάων
? ?

1 sqq. Flinders Petrie Papyri ed. Mahaffy, tab. III 3 (= C), cf. Hopfner Wien. St. XIV 154 sq.

2 Schol. Ven. A Hom. *B* 764 *ἀλλά φασιν εἰς ἰδιότητα τοῦ Ἀχιλλέως βεβαρυτονῆσθαι τὸ ποδώκης. παρὰ γοῦν τῷ Ἡσιόδῳ ἀνεγνώκασι 'ποδωκὴς δῖ' Ἀταλάντη'*

3 Et. gen. v. *ἀμαρύσσω· . . καὶ ἀμάρυγμα καὶ ἀμαρυγάς· σημαίνει τὰς τῶν ὀφθαλμῶν ἐκλάμψεις· Ἡσίοδος γυναικῶν Καταλόγῳ· 'Χαρίτων — ἔχουσα'*

22 (43)] Schol. Townl. Hom. *Ψ* 683 (cf. Eustathius Hom. 1324, 18) *νεώτερος οὖν Ἡσίοδος γυμνὸν εἰσάγων Ἱππομένη ἀγωνιζόμενον Ἀταλάντῃ* cf. Schol. Ven. A l. c.

23 (45)] *Καὶ κούρην Ἀράβοιο, τὸν Ἑρμάων ἀκάκητα*
γείνατο καὶ Θρονίη, κούρη Βήλοιο ἄνακτος

1 sq. Strabo I p. 42 *Ἡσίοδος δ' ἐν Καταλόγῳ φησί· 'καὶ — ἄνακτος'*

1 Eustathius in Dionys. Perieg. 927 *Ἡσίοδος . . ἐν τῷ 'κούρην Ἀράβοιο' . .*

cf. Eustathius Hom. 1484, 63

24 (49)] *Ἄργος ἄνυδρον ἐὸν Δαναὸς ποίησεν ἔνυδρον*

Eustathius Hom. 461, 2 *πολυδίψιον δὲ τὸ Ἄργος καλεῖ . . .*

21, 2 ΔΙ C, *δ'* schol. Ven. ΑΤΑΛΑΝ⟨*τη* C 3 *Σχοινῆος θυγάτηρ*⟩supplevi *χαρι*⟩ΤΩΝ C ЄΧΟ⟨*υσα* C 4 ΟΜΟΙ⟨*ον* C 5 *ἀνδρῶν βουλομένη φεύγε⟩ιν* scripsi (an *προφυγε⟩ῖν*?); post v. 5 litterarum reliquias incertas exhibet C
22 *Ἀταλάντῃ* Eustathius, *ταλάντῳ* schol.

ἢ καὶ ἀπὸ τῶν Δαναΐδων, αἳ παραγενόμεναι ἐξ Αἰγύπτου φρεωρυχίαν ἐδίδαξαν, ὡς Ἡσίοδος· '"Αργος — εὔυδρον'

cf. Hesychius v. δίψιον"Αργος Schol. Ven. A Hom. Δ 171

Strabo VIII p. 371 τὴν μὲν χώραν συγχωροῦσιν εὐυδρεῖν, αὐτὴν δὲ τὴν πόλιν ἐν ἀνύδρῳ χωρίῳ κεῖσθαι, φρεάτων δ' εὐπορεῖν. ἃ ταῖς Δαναΐσιν ἀνάπτουσιν, ὡς ἐκείνων ἐξευρουσῶν, ἀφ' οὗ καὶ τὸ ἔπος εἰπεῖν τοῦτο '"Αργος ἄνυδρον ἐὸν Δαναοὶ θέσαν"Αργος ἔνυδρον'

idem VIII p. 370 περὶ δὲ τῶν μυθευομένων πηγῶν εἴρηται, διότι πλάσματα ποιητῶν ἐστί. πλάσμα δὲ καὶ τὸ '"Αργος ἄνυδρον ἐὸν Δαναοὶ θέσαν "Αργος ἔνυδρον'

25 (50)] Hecataeus in schol. Eurip. Orest. 872 ἡ πολλὴ δόξα κατέχει μὴ ἀφῖχθαι τὸν Αἴγυπτον εἰς "Αργος, καθάπερ ἄλλοι τέ φασι καὶ Ἑκαταῖος γράφων οὕτως· 'ὁ δὲ Αἴγυπτος αὐτὸς μὲν οὐκ ἦλθεν εἰς "Αργος, παῖδας δέ * * *, ὡς μὲν Ἡσίοδος ἐποίησε, πεντήκοντα, ὡς δὲ ἐγὼ λέγω, οὐδὲ εἴκοσι'

26 (51)] Strabo VIII p. 370 καὶ Ἀπολλόδωρος δὲ μόνους τοὺς ἐν Θετταλίᾳ καλεῖσθαί φησιν Ἕλληνας 'Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες', Ἡσίοδον μέντοι καὶ Ἀρχίλοχον ἤδη εἰδέναι καὶ Ἕλληνας λεγομένους τοὺς σύμπαντας καὶ Πανέλληνας, τὸν μὲν περὶ τῶν Προιτίδων λέγοντα ὡς Πανέλληνες ἐμνήστευον αὐτάς, τὸν δὲ κτλ.

27 (52)] Apollodorus II 2, 1, 4 (p. 58, 4 W.) Ἀκρίσιος μὲν "Αργους βασιλεύει, Προῖτος δὲ Τίρυνθος. καὶ γίνεται Ἀκρισίῳ μὲν ἐξ Εὐρυδίκης τῆς Λακεδαίμονος Δανάη, Προίτῳ δὲ ἐκ

---

24 Δαναὸς ποίησεν Eustathius (cf. schol. Ven. A Hom. Δ 171); Δαναοὶ θέσαν "Αργος Strabo, quae lectio alterius videtur recensionis esse ἔνυδρον Strabo, εὔυδρον Eustathius

25 παῖδας δὲ ⟨ἀπέστειλεν⟩ Kirchhoff; παῖδες δέ, ὡς μὲν Ἡσίοδος ἐποίησε, Weil; ⟨παῖδες δὲ αὐτοῦ· καὶ⟩ παῖδας μέν, ὡς μὲν Ἡσίοδος, ἐποίησε Wilamowitz δὲ ⟨ἐγὼ⟩ λέγω Kirchhoff, λέγων δὲ codd. MTA, ὡς ἐγὼ δὲ Weil εἴκοσι Weil, εἰσί codd. MA, ἔστι T

Σθενεβοίας Λυσίππη καὶ Ἰφινόη καὶ Ἰφιάνασσα· αὗται δέ, ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὡς μὲν Ἡσίοδός φησιν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο . .

'Probus' comm. in Vergil. Buc. VI 48 *Proetides*] *Proeti filiae regis Argivorum. Hesiodus docet ex Proeto et Sthenoboea Amphidamantis natas. has, quod Iunonis contempserant numen, insania exterritas, quae crederent se boves factas patriam Argos reliquisse, postea a Melampode Amythaonis filio sanatas ita uti* * * *

28 (53)] *Εἵνεκα μαχλοσύνης στυγερῆς τέρεν ὤλεσαν ἄνθος*

Suidas v. *μαχλοσύνη· κατωφέρεια, γυναικομανία· Ἡσιόδειος ἡ λέξις· λέγει γὰρ περὶ τῶν Προίτου θυγατέρων· 'εἵνεκα — ἄνθος'*

cf. Schol. Ven. A Hom. *Ω* 25, unde sua Eustathius Hom. 1337, 34

29 (54)] *Καὶ γάρ σφιν κεφαλῆσι κατὰ κνύος αἰνὸν ἔχευεν·*
ἀλφὸς γὰρ χρόα πάντα κατέσχεθεν, ἐκ δέ νυ χαῖται
ἔρρεον ἐκ κεφαλέων, ψιλοῦτο δὲ καλὰ κάρηνα

1—3 Eustathius Hom. 1746, 7 *ἐκ δὲ τοῦ ῥηθέντος κνύω καὶ 'κνύμα δακτύλων' προφέρει (Ἡρωδιανός) ἐκ τοῦ κωμικοῦ καὶ κνύος δὲ τὴν φθορὰν κατὰ γένος οὐδέτερον . . . . φέρων καὶ χρῆσιν ἐκ τοῦ παρὰ Ἡσιόδῳ καταλόγου περὶ τῶν Προιτίδων. 'καὶ γάρ — κάρηνα'*

1. 3 Et. gen. v. *κνύζω· ἀφ' οὗ κνύος ἡ φθορὰ οἷον 'κατὰ — ἔχευεν·' 'ψίλωτο — κάρηνα'* cf. Et. Gud. 331, 2

---

27 *Λυσίππη τε καὶ Ἰφινόη καὶ Ἰφιάνασσα* versiculum panxit Wagner *uti* * * *] lacunam indicavit Keil, qui '*ait*' scribi volt

28 *ὤλεσεν* pars codd. Suidae, quod ex Aelian. Var. Hist. III 42 (scil. *ἡ τῆς Κύπρου βασιλίς*) praetulit Marckscheffel

29, 2 *κατέσχεθεν* Heinsius, *κατέσχεν* Eustathius, *κατήσχυν'*? Heyne *ἐκ* Lehmann, *ἐν* Eustathius 3 *ψιλοῦτο* dubitans Marckscheffel, *ψίλωτο* testes

1 Epim. Hom. in Anecd. Ox. I 226, 16 Cr. *ἀπὸ τοῦ κνύω Ἡσίοδος τὴν φθορὰν κνύος ὠνόμασε· 'καὶ γάρ — ἔχευεν'*

30 (55)] Schol. Ven. A et B Hom. *M* 292 *Εὐρώπην τὴν Φοίνικος Ζεὺς θεασάμενος ἔν τινι λειμῶνι μετὰ νυμφῶν ἄνθη ἀναλέγουσαν ἠράσθη καὶ κατελθὼν ἤλλαξεν ἑαυτὸν εἰς ταῦρον καὶ ἀπὸ τοῦ στόματος κρόκον ἔπνει· οὕτως τε τὴν Εὐρώπην ἀπατήσας ἐβάστασε καὶ διαπορθμεύσας εἰς Κρήτην ἐμίγη αὐτῇ· εἶθ' οὕτως συνῴκισεν αὐτὴν Ἀστερίωνι τῷ Κρητῶν βασιλεῖ· γενομένη δὲ ἔγκυος ἐκείνη τρεῖς παῖδας ἐγέννησε, Μίνωα Σαρπηδόνα καὶ Ῥαδάμανθυν. ἡ ἱστορία παρ' Ἡσιόδῳ καὶ Βακχυλίδῃ*
cf. Schol. Townl. Hom. l. c. Schol. Pseudeurip. Rhes. 29

31 (56)] Schol. Laur. Apoll. Rhod. Arg. *B* 178 (p. 398, 26 K.) *Ἀγήνορος γὰρ παῖς ἐστιν (Φινεύς), ὡς Ἑλλάνικος· ὡς δὲ Ἡσίοδός φησιν, Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας*
cf. Schol. Laur. ibidem (p. 399, 2 K.)

32 (57)] Apollodorus III 14, 4, 1 (p. 159, 5 W.) *Ἡσίοδος δὲ αὐτὸν (Ἄδωνιν) Φοίνικος καὶ Ἀλφεσιβοίας λέγει, Πανύασσις δέ φησι Θείαντος βασιλέως Ἀσσυρίων, ὃς ἔσχε θυγατέρα Σμύρναν*
'Probus' comm. in Vergil. Buc. X 18 *Adonis*] *(ut) Hesiodus ait, Phoenicis et Alphesiboeae*

33 (58)] *Τὴν πλεῖστοι ἐπιχθονίων ἀνθρώπων*
μνήστευον καὶ πολλὰ καὶ ἀγλαὰ δῶρ' ὀνόμηναν
ἴφθιμοι βασιλῆες, ἀπειρέσιον κατὰ εἶδος

---

30 *ἠράσθη*] *αὐτῆς* addit schol. Ven. B *ἡ ἱστορία — Βακχυλίδῃ*] *ἱστορεῖ Ἡσίοδος* schol. Ven. B
33, 1 *Δημοδόκη,*⟩ supplevit Cobet *ἀνδρῶν* schol. Od. codd. EJ 2 *μνήστευον* Heyne, *ἐμνήστευον* schol. Iliad., *μνηστεύοντο* schol. Od. *πολλὰ καὶ*] *πόλλ'* schol. Od. 3 *διὰ* Koechly coll. Hom. *λ* 282 *κάλλος* ex eodem Hom. loco Peppmüller

Porphyrius Quaest. Hom. ad Iliad. pert. p. 189, 22 Schr. (= Schol. Ven. B Hom. Ξ 200) de voce *ἀπειρέσιος* agens *σημαίνει δὲ καὶ ἐπὶ τοῦ κατὰ τὸ εἶδος διαφέροντος καὶ ἄγαν καλοῦ, ὡς παρ' Ἡσιόδῳ ἐν γυναικῶν Καταλόγῳ ἐπὶ τῆς Ἀγήνορος παιδὸς Δημοδόκης, 'τὴν πλεῖστοι — εἶδος'* cf Schol. Ambr. Hom. α 98

34 (61)] Apollodorus III 5, 6, 2 (p. 120, 8 W.) *Ἡσίοδος δὲ δέκα μὲν υἱούς, δέκα δὲ θυγατέρας (Ἀμφίονος καὶ Νιόβης), Ἡρόδωρος δὲ δύο μὲν ἄρρενας, τρεῖς δὲ θηλείας, Ὅμηρος δὲ ἓξ μὲν υἱούς, ἓξ θυγατέρας φησὶ γενέσθαι*

Aelianus Var. Hist. XII 36 *ἐοίκασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνᾴδειν ἀλλήλοις. Ὅμηρος μὲν ἓξ λέγει ἄρρενας καὶ τοσαύτας κόρας, Λᾶσος δὲ δὶς ἑπτὰ λέγει, Ἡσίοδος δὲ ἐννέα καὶ δέκα, εἰ μὴ ἄρα οὐκ εἰσὶν Ἡσιόδου τὰ ἔπη, ἀλλ' ὡς πολλὰ καὶ ἄλλα κατέψευσται αὐτοῦ. Ἀλκμὰν δέκα φησί, Μίμνερμος εἴκοσι καὶ Πίνδαρος τοσούτους*

35 (62)] Schol. Townl. Hom. Ψ 679 *καὶ Ἡσίοδος δέ φησιν ἐν Θήβαις αὐτοῦ (Οἰδίποδος) ἀποθανόντος Ἀργείαν τὴν Ἀδράστου σὺν ἄλλοις ἐλθεῖν ἐπὶ τὴν κηδείαν τοῦ Οἰδίποδος*

36 (63)] *Εἰλαρίδην Τιτυόν*

Herodianus (II 387, 17 L.) in Et. mag. de formis *Ἐλάρα* et *Ἀλέρα*: *ὅτι δὲ τὸ πρῶτον ἐστὶν ἀληθές, πίστις τούτου ἐκ τοῦ παρ' Ἡσιόδῳ μετὰ προσθήκης τοῦ ῑ λέγεσθαι τὸ πατρωνυμικόν. Εἰλαρίδην γάρ φησι Τιτυόν. καθ' ὑπέρθεσιν ἄρα τὸ Ἀλέρα γέγονεν· οὕτως Ἡρωδιανός*

---

34 alterum testimonium ad Ehoeas, alterum ad Catalogum rettulit Marckscheffel, quae carmina diversa fuisse persuasum habuit; in Apollodoro *Ἡσίοδος δὲ* ⟨*υἱοὺς μὲν ἐννέα, θυγατέρας δὲ δέκα, Μίμνερμος δὲ*⟩ *δέκα μὲν υἱούς* scribit Sittl
36 *Εἰλαράδην* Boeckh

37 (64)] Ὅς τε Λιλαίηθεν προΐει καλλίρροον ὕδωρ

Schol. Ven. A Hom. *B* 522 ὁ δὲ Κηφισὸς ποταμός ἐστι τῆς Φωκίδος ἔχων τὰς πηγὰς ἐκ Λιλαίας, ὥς φησιν Ἡσίοδος 'ὅς τε — ὕδωρ'

cf. Schol. Ven. B Hom. *B* 523 et Eustathius Hom. 275, 16

38 (65)] Ὅς τε παρὲκ Πανοπῆα διὰ Γλήχωνά τ' ἐρυμνὴν
καί τε δι' Ἐρχομενοῦ εἱλιγμένος εἶσι δράκων ὥς

1 sq. Strabo IX 424 de Cephiso καὶ Ἡσίοδος δ' ἐπὶ πλέον περὶ τοῦ ποταμοῦ λέγει καὶ τῆς ῥύσεως, ὡς δι' ὅλης ῥέοι τῆς Φωκίδος σκολιῶς καὶ δρακοντοειδῶς 'ὅς — ὥς'

2 Schol. Arati 45 (p. 349, 13 M.) . . καὶ ἐν τούτῳ δὲ Ἡσιόδου ζηλωτὴς φαίνεται (Ἄρατος)· ἐκεῖνος γὰρ ποταμὸν εἴκασε δράκοντι εἰπών 'καί τε — ὥς', οὗτος δὲ τοὐναντίον δράκοντα ποταμῷ ἀπείκασεν

39 (66)] Argum. Pind. Ol. XIV inscr. c Dr. Κηφισὸς δὲ ποταμὸς ἐν Ὀρχομενῷ, ἔνθα καὶ αἱ Χάριτες τιμῶνται· ταύταις Ἐτέοκλος ὁ Κηφισοῦ τοῦ ποταμοῦ πρῶτος ἔθυσεν, ὥς φησιν Ἡσίοδος. διὰ δὲ τοῦ Ὀρχομενοῦ ὁ Κηφισὸς ῥεῖ

40 (67)] Schol. Townl. Hom. *H* 9 ὁ γὰρ τοῦ Μενεσθίου πατὴρ Ἀρηίθοος Βοιωτὸς ἦν κατοικῶν Ἄρνην· ἔστι δὲ αὕτη Βοιωτίας, ὡς καὶ Ἡσίοδός φησιν

---

37 ὥστε cod. Ven. A   Λιλαίηθεν Eustathius, λιλαίησι cod. Ven. A   προΐει cod. Ven. A, προιεῖ Goettling, προχέει Eustathius, cf. Hymn. Hom. Apoll. Pyth. 63

38 cum fr. 37 coniunxit Hermann   1 ὅς τε anteposui; παρὲκ Πανοπῆα διὰ Meineke; ὃς παρὰ πανοπίδα, παρὲκ? πανοπη διὰ (vel πανοπιδιὰ) codd. Strabonis; ὃς παρὰ μὲν Πανοπῆα ῥέει vel ὃς παρὰ Πανοπίδα προρέει Voss, καὶ παρὰ Πανοπίδα Hermann, παρὲκ Πανόπην δῖαν Madvig   2 τε schol. Arati, δὲ Strabo   δι' Ἐρχομενοῦ Strabo, διερχομένου Arati scholior. cod. M, διερχόμενος cod. A   εἱλιγμένος Strabo, ἠπειγμένος (-ως cod. A) schol. Arati

δράκοντα ποταμῷ Klouček, δράκοντι ποταμὸν schol. Arati

41 (68)] Stephanus Byz. v. *Ὀγχηστός· ἄλσος· . . κεῖται δὲ ἐν τῇ Ἁλιαρτίων χώρᾳ, ἱδρυθὲν δὲ ὑπὸ Ὀγχηστοῦ τοῦ Βοιωτοῦ, ὥς φησιν Ἡσίοδος*

42 (69)] Stephanus Byz. v. *Αἰγά· . . ἔστι καὶ Αἰγαῖον πεδίον συνάπτον τῇ Κίρρᾳ, ὡς Ἡσίοδος. λέγεται παρὰ Αἰγᾶν ποταμὸν φερόμενον ἀπὸ τοῦ περὶ τὸ Πύθιον ὄρους, ἀφ' οὗ καὶ τὸ πεδίον Αἰγαῖον*

43 (70)] Apollodorus II 1, 1, 5 (p. 50, 14 W.) *Νιόβης δὲ καὶ Διός, ᾗ πρώτῃ γυναικὶ Ζεὺς θνητῇ ἐμίγη, παῖς Ἄργος ἐγένετο, ὡς δὲ Ἀκουσίλαός φησι, καὶ Πελασγός, ἀφ' οὗ κληθῆναι τοὺς τὴν Πελοπόννησον οἰκοῦντας Πελασγούς. Ἡσίοδος δὲ τὸν Πελασγὸν αὐτόχθονά φησιν εἶναι*

cf. idem III 8, 1, 1 (p. 134, 3 W.) et Servius in Vergil. Aen. II 83

44 (71)] *Υἱέες ἐξεγένοντο Λυκάονος ἀντιθέοιο,*
ὅν ποτε τίκτε Πελασγός

Strabo V p. 221 *τῷ δ' Ἐφόρῳ τοῦ ἐξ Ἀρκαδίας εἶναι τὸ φῦλον τοῦτο (τοὺς Πελασγούς) ἦρξεν Ἡσίοδος. φησὶ γὰρ 'υἱεῖς — Πελασγός'*

45 (72)] Stephanus Byz. v. *Παλλάντιον· πόλις Ἀρκαδίας, ἀπὸ Πάλλαντος, ἑνὸς τῶν Λυκάονος παίδων, ὡς Ἡσίοδος*

46 (73)] *Φέλλον ἐυμμελίην τέκετο κλειτὴ Μελίβοια*

Herodianus *περὶ μον. λέξ.* p. 11 (II 918, 7 L.) *Φέλλος τὸ κύριον, Ἡσίοδος 'Φέλλον — Μελίβοια'*

---

42 *Αἰγᾶν* Meineke, *αἴγαν* codd.
44, 1 *υἱέες* scripsi, *υἱεῖς* codd. *ἐξεγένοντο* Coraes, *ἐξ ἐγένοντο* codd.
46 *τέκετο κλειτὴ* Hermann, *τέκε τῇ μελιβοίᾳ* cod., *τέκε τηλύγετον Μελίβοια* Emperius, *τηλεκλειτὴ Μελίβοια* Lehrs, *τέκετ' Αἰγείδῃ Μελίβοια* Bergk

47 (74)] *Οἳ πρόσθε φανὴν ἔντοσθεν ἔκευθον*

Herodianus περὶ μον. λέξ. p. 18 (II 924, 20 L.) τὰ διὰ τοῦ ανη ἐκφερόμενα θηλυκὰ μονογενῆ ὑπὲρ δύο συλλαβὰς πάντα βαρύνεται . . . ἀλλὰ μόνον τὸ μηχανὴ σημειοῦται ὀξυνόμενον. προσέθηκα ὑπὲρ δύο συλλαβὰς διὰ τὸ ʻφανήʼ παρʼ ʻΗσιόδῳ ἐν δευτέρῳ (Καταλόγῳ) εἰρημένον ʻοἳ — ἔκευθονʼ

48 (75)] *Νοῦθος δὲ ποδῶν ὑπόδουπος ὀρώρει*

Herodianus περὶ μον. λέξ. p. 42 (II 947, 26 L.) νοῦθος κύριον, ψόφος ἐν οὔδει. ʻΗσίοδος ἐν τρίτῳ (Καταλόγῳ) ʻνοῦθος — ὀρώρειʼ

49 (76)] *Σφὶν δʼ αὐτοῖς μέγα πῆμα*

Apollonius Dysc. de pron. p. 125 A B. ὑπὸ γὰρ ʻΗσιόδου ἐν ἀρχῇ τεθεῖσα (ἡ ʻσφίνʼ) εὐλόγως ὠρθοτονήθη ἐν τρίτῳ (Καταλόγῳ) ʻσφὶν δʼ — πῆμαʼ

cf. Epim. in Anecd. Ox. I 388, 21 Cr.

50 (77)] Schol. Laur. Apoll. Rhod. Arg. *Α* 45 οὔτε ῞Ομηρος οὔτε ʻΗσίοδος οὔτε Φερεκύδης λέγουσι τὸν ῎Ιφικλον σὺν τοῖς ʼΑργοναύταις

51 (169)] Pseuderatosthenes Catast. XIX p. 124 R. = p. 23, 6 Ol. (= Schol. Arati p. 221b 13 M.) Κριός] οὗτος ὁ Φρίξον διακομίσας καὶ ῞Ελλην· ἄφθιτος δὲ ὢν ἐδόθη αὐτοῖς ὑπὸ Νεφέλης τῆς μητρός· εἶχε δὲ χρυσῆν δοράν, ὡς ʻΗσίοδος καὶ Φερεκύδης εἰρήκασιν

cf. Schol. Basil. Germanic. Arat. p. 79, 18 Br. Schol. Arati p. 221a 13 M. ʻHyginusʼ Astron. II 20

---

48 ὑπόδουπος Lehrs, ὕπο δοῦπος cod. νοῦθος ⟨ὁ⟩ κύριος Ludwich, κύριον ⟨καὶ⟩ Lehrs
49 ad Oper. 56 referebat Schaefer τʼ Anecd. Ox.
51 fragmento in Ehoeis locum assignavit Robert ἐδόθη Fellus, ἐδέθη libri

praeterea v. Schol. Sangerm. Germanic. Arat. p. 142, 20 Br. et Schol. Strozz. Germanic. Arat. p. 142, 8 Br.

52 (78)] Schol. Laur. Apoll. Rhod. Arg. *B* 181 *πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, ὅτι Φρίξῳ τὴν ὁδὸν ἐμήνυσεν, ἐν δὲ τῷ γ̄ Καταλόγῳ, ἐπειδὴ τὸν μακρὸν χρόνον τῆς ὄψεως προέκρινεν*

cf. Et. gen. v. *ὀπίζεσθαι* (Reitzenstein Ind. lect. Rostoch. hib. 1891/2 p. 15)

53 (79)] Schol. Paris. Apoll. Rhod. Arg. *B* 181 *παῖδας δέ φησιν αὐτῷ (τῷ Φινεῖ) γενέσθαι Ἡσίοδος δύο, Θυνὸν καὶ Μαριανδυνόν* v. schol. Laur. l. c. et *B* 140

cf. Et. gen. v. *ὀπίζεσθαι* (Reitzenstein l. c.)

54 (231)] *Γλακτοφάγων ἐς γαῖαν ἀπήνας οἰκί᾽ ἐχόντων*

Ephorus ap. Strabon. VII p. 302 de Scythis narrat: *εἶναι γάρ τινας τῶν νομάδων Σκυθῶν γάλακτι τρεφομένους ἵππων τῇ τε δικαιοσύνῃ πάντων διαφέρειν· μεμνῆσθαι δ᾽ αὐτῶν τοὺς ποιητάς . . . Ἡσίοδον δ᾽ ἐν τῇ καλουμένῃ γῆς περιόδῳ τὸν Φινέα ὑπὸ τῶν Ἁρπυιῶν ἄγεσθαι 'Γλακτοφάγων — ἐχόντων'*

55 (232)] *Αἰθίοπάς τε Λίγυς τε ἰδὲ Σκύθας ἱππημολγούς*

Strabo VII p. 300 *πῶς οὖν ἠγνόει τοὺς Σκύθας ὁ ποιητής, ἱππημολγοὺς καὶ γαλακτοφάγους τινὰς προσαγορεύων; ὅτι γὰρ οἱ τότε τούτους ἱππημολγοὺς ἐκάλουν, καὶ Ἡσίοδος μάρτυς ἐν τοῖς ὑπ᾽ Ἐρατοσθένους παρατεθεῖσιν ἔπεσιν· 'Αἰθίοπας — ἱππημολγούς'*

---

52 *γ̄ καταλόγων* Keil
53 suspicionem movet Sittlio
54 *ἐς γαῖαν* Lehrs, *εἰς αἶαν* Strabonis codd. *ἀπήνας* Porson, *ἀπήναις* codd. *ἐν — περιόδῳ*] *ἐν καταλόγων τρίτῳ* Kirchhoff; oblocutus est Niese
55 in Catalogo collocavit Marckscheffel *τε λιγυστὶ δὲ* Strabonis codd., *Λίγυάς τε ἰδὲ* Naeke

Herodianus *περὶ διχρόν.* II 16, 30 L. '*Σκύθας*' ultima correpta affert

56 (80)] Apollodorus I 9, 21, 6 (p. 41, 17 W.) *διωκομένων δὲ τῶν Ἁρπυιῶν ἡ μὲν κατὰ Πελοπόννησον εἰς τὸν Τίγρην ποταμὸν ἐμπίπτει, ὃς νῦν ἀπ' ἐκείνης Ἅρπυς καλεῖται· ταύτην δὲ οἱ μὲν Νικοθόην, οἱ δὲ Ἀελλόπουν καλοῦσιν. ἡ δὲ ἑτέρα καλουμένη Ὠκυπέτη, ὡς δὲ ἔνιοι Ὠκυθόη (Ἡσίοδος δὲ λέγει αὐτὴν Ὠκυπόδην), αὕτη κατὰ τὴν Προποντίδα φεύγουσα μέχρι Ἐχινάδων ἦλθε νήσων, αἳ νῦν ἀπ' ἐκείνης Στροφάδες καλοῦνται*

57 (81)] *Ἔνθ' οἵ γ' εὐχέσθην Αἰνηίῳ ὑψιμέδοντι*

Schol. Laur. Apoll. Rhod. Arg. *Β* 297 *ὅτι δὲ ηὔξαντο οἱ περὶ Ζήτην τῷ Διὶ στραφέντες λέγει καὶ Ἡσίοδος 'ἔνθ' — ὑψιμέδοντι'· ἔστι γὰρ Αἶνος ὄρος τῆς Κεφαλληνίας, ὅπου Αἰνησίου Διὸς ἱερόν ἐστιν*

58 (82)] Schol. Laur. Apoll. Rhod. Arg. *Β* 297 *Ἀπολλώνιος μὲν οὖν τὴν ἀποστρέψασαν τοὺς περὶ Ζήτην Ἶριν λέγει, Ἡσίοδος δὲ Ἑρμῆν*

59 (83)] Schol. Laur. Apoll. Rhod. Arg. *Β* 296 *οἱ δὲ Στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες αὐτόθι ηὔξαντο τῷ Διὶ καταλαβεῖν τὰς Ἁρπυίας. κατὰ δὲ Ἡσίοδον καὶ Ἀντίμαχον καὶ Ἀπολλώνιον οὐ κτείνονται*

60 (84)] Philodemus *περὶ εὐσεβ.* 10 G. *οὐ⟩δ' Ἡσιόδῳ μή τ⟨ις ἐ⟩γ⟨γ⟩ελᾷ, ὃς γ. . . . .αι ο. .ν ἢ ⟨καὶ τ⟩ῶν Κατουδα⟨ίων κ⟩αὶ τῶν Πυ⟨γμ⟩αί⟨ων μνημονεύει*

---

56 ad Theog. 267 pertinere suspicatur Sittl *Ὠκυθόη*] *Ὠκυρόη* e pap. B Theogoniae (cf. ad v. 267) Kenyon
57 *Αἰνησίῳ* Heringa
60 *Ἡσιόδῳ* Bergk, ΗΣΙΟΔΗ papyrus *ἐ⟩ν⟨γ⟩ελᾷ* Bergk, ·ΝΜΕΛΑΙ pap. Γ····ΑΙΘ···Ι pap.; *γ⟨ρυπῶν κ⟩αὶ ὄ⟨νω⟩ν* dubitans Bergk *Πυ⟨γμ⟩αί⟨ων* Gomperz, *μνημονεύει* add. Bergk

Harpocration Suidas Photius v. *ὑπὸ γῆν οἰκοῦντες· λέγοι ἂν τοὺς ὑπὸ Σκύλακος ἐν τῷ Περίπλῳ λεγομένους Τρωγλοδύτας καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν γ̄ Καταλόγου Κατουδαίους ὀνομαζομένους*

61 (85)] Schol. Medic. Aeschyl. Prom. 830 *πρῶτος Ἡσίοδος ἐτερατεύσατο τοὺς γρῦπας*

62 (86)] Strabo I p. 43 *Ἡσιόδου δ' οὐκ ἄν τις αἰτιάσαιτο ἄγνοιαν Ἡμίκυνας λέγοντος καὶ Μακροκεφάλους καὶ Πυγμαίους*

idem VII p. 299 *καὶ γὰρ τοὺς ἔτι νεωτέρους ἐκείνου (Ὁμήρου) πολλὰ ἀγνοεῖν καὶ τερατολογεῖν, Ἡσίοδον μὲν Ἡμίκυνας λέγοντα καὶ Μεγαλοκεφάλους καὶ Πυγμαίους . .*

Harpocration v. *Μακροκέφαλοι· ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος μέμνηται ἐν γ̄ γυναικῶν Καταλόγῳ*

Stephanus Byz. v. *Ἡμίκυνες· ἔθνος οὐ πόρρω Μασσαγετῶν καὶ Ὑπερβορέων . . . καὶ Ἡσίοδος·*

63 (87)] Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 284 *Ἡσίοδος δὲ διὰ Φάσιδος αὐτοὺς (τοὺς Ἀργοναύτας) εἰσπεπλευκέναι (εἰς τὴν θάλασσαν) λέγει. Ἑκαταῖος δὲ ἐλέγχων αὐτὸν ἱστορεῖ μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν, οὐδὲ διὰ Ταναίδος ἐκπλεῦσαι, ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν καθ' ὃν καὶ πρότερον*

64 (88)] Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 259 *Ἡσίοδος δὲ καὶ Πίνδαρος ἐν Πυθιονίκαις καὶ Ἀντίμαχος ἐν Λύδῃ διὰ τοῦ Ὠκεανοῦ φασιν ἐλθεῖν αὐτοὺς (τοὺς Ἀργοναύτας) εἰς Λιβύην καὶ βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι*

---

61 *Ἡσίοδος*] *Ἡρόδοτος* Reiz; adversatus est Bergk
62 *Μεγαλοκεφάλους*] an hic quoque *Μακροκεφάλους*? post *Ἡσίοδος* in Stephano verba poetae videntur excidisse
63 *Ἡσίοδος*] *Ἑκαταῖος* Bergk *Ἑκαταῖος*] *Ἀρτεμίδωρος* Bergk *ἐκπλεῦσαι* Keil, *ἔπλευσαν* cod.

65 (89)] Strabo I p. 23 *Ἐρατοσθένης δὲ Ἡσίοδον μὲν εἰκάζει πεπυσμένον περὶ τῆς Ὀδυσσέως πλάνης ὅτι κατὰ Σικελίαν καὶ Ἰταλίαν γεγένηται, πιστεύσαντα τῇ δόξῃ μὴ μόνον τῶν ὑφ' Ὁμήρου λεγομένων μεμνῆσθαι, ἀλλὰ καὶ Αἴτνης καὶ Ὀρτυγίας τοῦ πρὸς Συρακούσαις νησίου καὶ Τυρρηνῶν, Ὅμηρον δὲ μήτε εἰδέναι ταῦτα μήτε βούλεσθαι ἐν γνωρίμοις τόποις ποιεῖν πλάνην*

66 (90)] Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 311 *ἠκολούθησεν Ἀπολλώνιος τοῖς κατὰ τὸ Τυρσηνικὸν πέλαγος ὑποτιθεμένοις τὴν Ὀδυσσέως πλάνην, ὧν ἀρχηγὸς Ἡσίοδος κατῳκηκέναι λέγων Κίρκην ἐν τῷ προειρημένῳ πελάγει*

67 (91)] Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 311 *φησὶ δὲ Ἀπολλώνιος Ἡσιόδῳ ἑπόμενος ἐπὶ τοῦ ἅρματος τοῦ Ἡλίου εἰς τὴν κατὰ Τυρρηνίαν κειμένην νῆσον τὴν Κίρκην ἐλθεῖν· ἑσπερίαν δὲ αὐτὴν εἶπεν, ἐπεὶ πρὸς δυσμὰς κεῖται*

68 (92)] *Νῆσον ἐς Ἀνθεμόεσσαν, ἵνα σφίσι δῶκε Κρονίων*
Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 892 *καλὴν Ἀνθεμόεσσαν] ἠκολούθησεν Ἡσιόδῳ οὕτως ὀνομάζοντι τὴν νῆσον τῶν Σειρήνων 'νῆσον — Κρονίων'. ὀνόματα δὲ αὐτῶν Θελξιόπη ἢ Θελξινόη, Μολπή, Ἀγλαόφωνος*

69 (93)] Schol. Hom. *μ* 168 *ἐντεῦθεν Ἡσίοδος καὶ τοὺς ἀνέμους θέλγειν αὐτὰς (τὰς Σειρῆνας) ἔφη*
cf. Schol. Hom. *μ* 169 Eustathius Hom. 1710, 39

70 (94)] *Πόν⟩τον δ' Ὠγύλιον ἠδ' Ὠγυλίην . . . . νῆσον*
Schol. Hom. *α* 85 *Ὠγυγίην] ἐν τῇ κατὰ Ἀντίμαχον Ὠγυλίην γράφεται· διαφέρουσι δὲ οἱ τόποι. τὴν μὲν γὰρ*

---

67 Hesiodi nomen errore commemorari arbitratur Seeliger **70** cf. Ludwich JbfPh. 1888 p. 241 sqq. Berl. phil. Wochenschr. 1905 c. 684 sq. *πόν⟩τον* Ludwich, *τὸν* codd., cf. Fr. 96,20 *Ὠγυλίην* Ludwich, *ὠγύλη* codd.; post spatium quattuor fere litterarum in H *Ὠγυλίην] ὠγυγίη* M[1]P

Ὠγυγίαν ἐντὸς εἶναι πρὸς ἑσπέραν, τὴν δὲ Ὠγυλίαν κατὰ Κρήτην Ἡσίοδός φησι κεῖσθαι· '⟨πόν⟩τον — νῆσον'. ταύτην δὲ ⟨εἰσὶν⟩ οἳ Καυδοὺς καλοῦσιν

71 (95)] Schol. Hom. η 54 ὅτι Ἡσίοδος ἀδελφὴν Ἀλκινόου τὴν Ἀρήτην ὑπέλαβεν
cf. Eustathius Hom. 1567, 64

72 (96)] Stephanus Byz. v. Ὑπερησία· πόλις τῆς Ἀχαΐας .... τὸ ἐθνικὸν τῆς Ὑπερησίας Ὑπερησιεύς, καὶ θηλυκὸν Ὑπερησὶς παρ' Ἡσιόδῳ

73 (97)] Τὴν δ' Ἀμαρυγκεΐδης Ἱππόστρατος, ὄζος Ἄρηος,

* * *

Φυκτέος ἀγλαὸς υἱός, Ἐπειῶν ὄρχαμος ἀνδρῶν

Schol. Pind. Ol. X 46 ἐὰν πόλιν] τὴν πόλιν φασὶ καλεῖσθαι Φύκτεον ἀπό τινος Φυκτέως, οὗ μέμνηται καὶ Ἡσίοδος οὕτω· 'τὴν — ἀνδρῶν'

Apollodorus I 8, 4, 1 (p. 26, 20 W.) Ἀλθαίας δὲ ἀποθανούσης ἔγημεν Οἰνεὺς Περίβοιαν τὴν Ἱππονόου· ταύτην δὲ ὁ μὲν γράψας τὴν Θηβαΐδα πολεμηθείσης Ὠλένου λέγει λαβεῖν Οἰνέα γέρας, Ἡσίοδος δὲ ἐξ Ὠλένου τῆς Ἀχαΐας, ἐφθαρμένην ὑπὸ Ἱπποστράτου τοῦ Ἀμαρυγκέως, Ἱππόνουν τὸν πατέρα πέμψαι πρὸς Οἰνέα πόρρω τῆς Ἑλλάδος ὄντα, ἐντειλάμενον ἀποκτεῖναι

Ὠγυγίαν] ὠγυγίην H¹M¹Q Ὠγελίαν P Κρήτην] reliqua addit H, om. Q κεῖσθαι] reliqua om. M¹; Mª addit 'λέγεται (in ras.) δὲ ὀνοματικῶς ἡ καλυψοῦς νῆσος' νῆσον· ταύτην δὲ H, νῆσον δὲ ταύτην P ⟨εἰσὶν⟩ Wilamowitz Καυδοὺς Wilamowitz, καυλοὺς H, καλοὺς P

71 ad Ehoeas rettulit Bergk

73 post 1 versum excidisse vidit Heyne 2 Φυκτέος Heinsius, φυκτέως cod. B, φυκτεὺς ὄρχαμος ἀνδρῶν codd. CDEQ, Φυτέος Wellmann et Lübbert Φύτεον iidem

74 (98)] *Οἴκεε δ' Ὠλενίην πέτρην ποταμοῖο παρ' ὄχθας*
Πείρου ἐυρρεέος

1 sq. Strabo VIII p. 342 *ὁ δὲ Τευθέας εἰς τὸν Ἀχελῷον ἐμβάλλει τὸν κατὰ Δύμην ῥέοντα, ὁμώνυμον τῷ κατὰ Ἀκαρνανίαν, καλούμενον καὶ Πεῖρον. τοῦ δ' Ἡσιόδου εἰπόντος ʽᾤκεε — Πείροιο' μεταγράφουσί τινες ʽΠώροιο' οὐκ εὖ*

1 Stephanus Byz. v. *Ὤλενος . . . τὸ θηλυκὸν Ὠλενία· Ἡσίοδος ʽᾤκεε — ποταμοῖο ⟨παρ' ὄχθας⟩'*

cf. Eustathius Hom. 882, 66

75 (99)] Diodorus V 81 *μετὰ δὲ ταῦτα (τὸν κατὰ Δευκαλίωνα κατακλυσμὸν) Μακαρεὺς εἰς αὐτὴν (τὴν Λέσβον) ἀφικόμενος καὶ τὸ κάλλος τῆς χώρας κατανοήσας κατῴκησεν αὐτήν. ἦν δ' ὁ Μακαρεὺς υἱὸς μὲν Κρινάκου τοῦ Διός, ὥς φησιν Ἡσίοδος καὶ ἄλλοι τινὲς τῶν ποιητῶν, κατοικῶν δ' ἐν Ὠλένῳ τῆς τότε μὲν Ἰάδος, νῦν δ' Ἀχαΐας καλουμένης*

cf. Schol. Townl. Hom. *Ω* 544

76 (100)] *Ἣ δ' ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην.*
αὐτὰρ ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον,
μοῦνος ἐὼν ἤσχαλλε· πατὴρ δ' ἀνδρῶν τε θεῶν τε,
ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,
τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας.
οἳ δή τοι πρῶτοι ζεῦξαν νέας ἀμφιελίσσας,
πρῶτοι δ' ἱστί' ἔθεν νηὸς πτερὰ ποντοπόροιο

---

74 de Periboea agi opinatur Ruhnken 1 *οἴκεε* scripsi, *Ϝοίκεε* Flach, *ᾤκεε* testes 2 *Πείρου ἐυρρεέος* Nauck, *εὐρῆος Πείροιο* Strabo, *Πώροιο* quidam teste eodem (*Πιέροιο* ex Pausan. VII 22, 1 Meineke), *εὐρεέος Πείροιο* olim conieci

76, 4 *ἔνδοθεν* cod. Laur. D scholiorum Pind. Nem., *ἔνδοθε* codd. aliquot Tzetzae 6 *πρῶτοι* pars codd. Tzetzae; *πρῶτον* scholia Pind. Ol. et Nem. Tzetzae codd. cett. *τεῦξαν* schol. Pind. Ol. 7 *ἱστί' ἔθεν νηὸς* Boeckh; *ἱστία θέσαν νεὼς* codd.; *ἐστόλισαν νηὸς* (ex Op. 628) Goettling

1—6 Schol. Pind. Nem. III 21 *περὶ τῶν Μυρμιδόνων* *Ἡσίοδος μὲν οὕτω φησίν· ʽἣ δʼ — ἀμφιελίσσαςʼ* cf. Tzetzes in Lycophr. 176

6. 7 Schol. Pind. Ol. VIII 26 *Ἡσίοδος· ʽοἳ — ποντοπόροιοʼ*

77 (101)] *Αἰακίδας* (?) *πολέμῳ κεχαρηότας* (?) *ἠύτε δαιτί*

Polybius V 2 *λειτουργοί γε μὴν περὶ τὰς ταφρείας καὶ χαρακοποιίας καὶ πᾶσαν τὴν τοιαύτην ταλαιπωρίαν φιλοπονώτατοί τινες, οἵους Ἡσίοδος παρεισάγει τοὺς ʽΑἰακίδας, πολέμῳ κεχαρηότας ἠύτε δαιτίʼ* cf. Suidas v. *δαῖτας*

Maximus Tyrius XXXV 2 *Ὁμήρου δὲ οὐκ ἀκούεις ἐγκωμιάζοντος τοὺς Αἰακίδας, ὅτι ἦσαν ἄνδρες πολέμῳ κεχαρηότες ἠύτε δαιτί;*

78 (37)] Porphyrius Quaest. Hom. ad Iliad. pertin. p. 93, 17 Schr. (= Schol. Ven. B Hom. Z 164) *συντόμως δὲ τὰ αἰσχρὰ δεδήλωκε ʽμιγῆναι οὐκ ἐθελούσῃʼ, ἀλλʼ οὐχ ὥσπερ Ἡσίοδος τὰ περὶ τοῦ Πηλέως καὶ τῆς Ἀκάστου γυναικὸς διὰ μακρῶν ἐπεξελθών*

cf. Schol. Laur. Apoll. Rhod. Arg. *Α* 224 Schol. Pind. Nem. IV 92 Gellius Noct. Att. III 11, 5

79 (38)] *Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,*
αὐτὸν μὲν σχέσθαι, κρύψαι δʼ ἀδόκητα μάχαιραν
καλήν, ἥν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις,
ὡς τὴν μαστεύων οἶος κατὰ Πήλιον αἰπὺ
αἶψʼ ὑπὸ Κενταύροισιν ὀρεσκῴοισι δαμείη

Schol. Pind. Nem. IV 95 enarrata Daedali et Acasti historia *ταῦτα δὲ ἱστοροῦσι πολλοὶ μέν, ἀτὰρ δὴ καὶ Ἡσίοδος λέγων οὕτως· ʽἥδε — δαμείηʼ*

---

77 cf. Nauck MGrR. IV 389 Sittl Wien. St. XII 50 sq.
78 *αἰσχρὰ* Reitzenstein, *ἀρχαῖα* cod. *Ἀκάστου* G. Dindorf, *ἀκάτου* cod. *διὰ μακρῶν* Bergk, *διὰ μικρῶν* cod.
79, 2 *αὐτοῦ* Heyne *σχέσθαι*] *εὔχεσθαι* codd. BV, *αἴχεσθαι* D *ἀδοκητὶ* Er. Schmid

80] Volum. Herculan. coll. alt. VIII 105 .... ⟨ὁ δὲ τ⟩ὰ Κύπ⟨ρια ποιήσας Ἥ⟩ρᾳ χαρ⟨ιζομένη⟩ν (Θέτιν) φεύγειν αὐ⟨τοῦ⟩ (τοῦ Διός) ⟨τὸ⟩ν γάμον, Δ⟨ία δὲ ὀμ⟩όσαι χολω⟨θέντ⟩α διότι θνη⟨τῷ συ⟩νοικίσει. κα⟨ὶ παρ' Ἡ⟩σιόδῳ δὲ κε⟨ῖται τ⟩ὸ παραπλήσ⟨ιον

81 (102)] * * *

Φθίην ἐξίκετο, μητέρα μήλων,
πολλὰ κ⟩τήματ' ἄγων ἐξ εὐρυχόρου Ἰαωλκοῦ
Πηλεὺς⟩ Αἰακίδης, φίλος ἀθανάτοισι θεοῖσιν,
λαοῖσιν⟩ δὲ ⟨ἰδ⟩οῦσιν ἀγαίετο θυμὸς ἅπασιν,
ὥς τε πό⟩λιν ⟨ἀ⟩λάπαξεν ἐύκτιτον ὥς τ' ἐτέλεσσεν
ἱμερόεντα γά⟩μον· καὶ τοῦτ' ἔπος εἶπαν ἅπαντες·
τρὶς μάκαρ Αἰακίδη καὶ τετράκις, ὄλβιε Πηλεῦ,
ᾧ τ' ἄλοχον πολύ⟩δωρον Ὀλύμπιος εὐρύοπα Ζεὺς
ὤπασεν ἠδὲ γάμον μ⟩άκαρες θεοὶ ἐξετέλεσσαν,
ὃς τοῖσδ' ἐν μεγάροις ἱερὸν λέχος εἰσαναβαίνων

---

80 rest. Reitzenstein Ind. lect. acad. Rostoch. hib. 1891/2, 15 et Herm. XXXV 73 sq. ΟΝΗ····ΝΟΙΚΗϹΕΙ papyrus, rest. Reitzenstein

81, 1 ⟨δὲ⟩ ante *Φθίην* Wilamowitz, ⟨ὡς⟩ Klouček, qui haec a quodam narrari arbitratur (v. 4 parenthesin esse ratus) 2 *πολλὰ⟩* ex Hom. γ 312 Wilamowitz *Ἰαωλκοῦ* Schwartz, ΪΩΛΚΟΥ A 3 *Πηλεὺς⟩* Wilamowitz, *καρτερὸς⟩* Reitzenstein 4 *λαοῖσιν⟩* Wilamowitz *δὲ ⟨ἰδ⟩οῦσιν*] ΔΕΦ? ··ΟΥϹΙΝ A, *δ' ἐφ⟨ιδ⟩οῦσιν* idem, adspirationem volgarem in A inveniri ratus, *δ' ἐσιδοῦσιν* Blass, sed cf. Theog. 82 adn. 5 *ὥς τε πό⟩λιν ⟨ἀ⟩λάπαξεν* Wilamowitz, ···ΛΙΝΛΑΠΑΞΕΝ A, *ὡς ὃ πό⟩λιν ⟨τ ἀ⟩λάπαξεν* Reitzenstein 6 *⟨ἱμερόεντα γά⟩μον* idem 7 *τρὶς μάκαρ* Tzetzes, desideratur in A *Αἰακίδη* Tzetzes, *αια⟩*ΚΙΔΗ A 8 sq. om. Tzetzes; duplicem recensionem statuit Wilamowitz 8 *ᾧ τ' ἄλοχον πολύ⟩δωρον* ex Hom. Z 394 Wilamowitz 9 *ὤπασεν ἠδὲ γάμον⟩* Reitzenstein, *δῶκε, γάμον δ' αὐτοὶ⟩* Wilamowitz 10 *ὃς — μεγάροις* Tzetzes, interierunt in A *ἱερὸν* Tzetzes, *ιε⟩*ΡΟΝ A *εἰσαναβαίνων* A, *εἰσαναβαίνεις* Tzetzes

πατ⟩ὴρ ποίησε Κρονίων
ἔξοχον ἡρώων περί⟩ τ' ἄλλων ἀλφηστάων
τιμήεντ' ἀνδρῶν, χθονὸ⟩ς ὅ⟨σσοι καρ⟩πὸν ⟨ἔ⟩δουσι⟨ν

* * *

1—13 Papyrus graeca 55 bibl. Argentinensis (= A) alterius fere saec., ed. Reitzenstein Herm. XXXV 79 sqq., cf. Wilamowitz Sitzungsb. d. preuss. Akad. 1900 p. 849 sq.

7. 10 Tzetzes Prol. ad Lycophr. I 260 sq. M. *ἐπιθαλαμιογράφοι δὲ ποιηταί, . . . οἷος ἦν . . . καὶ Ἡσίοδος αὐτὸς γράψας ἐπιθαλάμιον εἰς Πηλέα καὶ Θέτιν· 'τρὶς — Πηλεῦ', 'ὃς τοῖσδ' — εἰσαναβαίνεις'*

82 (216)] *Ξυναὶ γὰρ τότε δαῖτες ἔσαν, ξυνοὶ δὲ θόωκοι*
ἀθανάτοισι θεοῖσι καταθνητοῖς τ' ἀνθρώποις

1 sq. Origenes c. Cels. IV 79 *εἴπερ γὰρ κατὰ πρόνοιαν ὁ κόσμος γεγένηται καὶ θεὸς ἐφέστηκε τοῖς ὅλοις, ἀναγκαῖον ἦν τὰ ζώπυρα τοῦ γένους τῶν ἀνθρώπων ἀρξάμενα ὑπό τινα γεγονέναι φρουρὰν τὴν ἀπὸ κρειττόνων, ὥς τε κατ' ἀρχὰς ἐπιμιξίαν γεγονέναι τῆς θείας φύσεως πρὸς τοὺς ἀνθρώπους· ἅπερ καὶ ὁ Ἀσκραῖος ποιητὴς ἐννοῶν εἶπε· 'ξυναὶ — ἀνθρώπους'*

1 Schol. Arat. 103 (p. 357, 27 M.) *ἀλλ' ἀναμὶξ ἐκάθητο· τὸ δὲ ἀρχαῖον τὸ χρυσοῦν γένος· παρὰ τὸ Ἡσιόδειον 'ξυναὶ — θόωκοι'*

---

11 sq. *κραίνεις· κύδιστόν σε πα⟩τὴρ ποίησε Κρονίων* | ⟨*πάντων ἡμιθέων*⟩ Reitzenstein; fuitne altera recensio *εἰσαναβαίνεις* recepto ⟨*Νηρεΐδος· μάλα δή σε πα⟩τὴρ κτλ.*? *τέρπεαι, Νηρεΐδος δὲ πατ⟩ὴρ ποίησε Κρονίων* | ⟨*κουρίδιόν σε πόσιν* Wilamowitz 12 *ἔξοχον ἡρώων*⟩ scripsi; *ἔξοχά θ' ἡρώων*⟩ Kaibel *περί⟩ τ'* Reitzenstein, · · · ' Τ A 13 *τιμήεντ' ἀνδρῶν*⟩ dedi, *ὄλβιον ἀνθρώπων*⟩ Wilamowitz *χθονὸ⟩ς ὅ⟨σσοι* idem *καρ⟩πὸν ⟨ἔ⟩δουσι⟨ν* Reitzenstein

82 ad Pelei et Thetidis nuptias rettulerunt Bergk et Reitzenstein 1 *θῶκοι* Origenis codd. ACDEH schol. Arati 2 *τε βροτοῖσιν* Paulson

83 (103)] Schol. Townl. Hom. *Π* 175 de Pelei filia *Ζηνόδοτος δὲ Κλεοδώρην φησίν, Ἡσιόδου καὶ τῶν ἄλλων Πολυδώρην αὐτὴν καλούντων*

84 (104)] Eustathius Hom. 112, 44 sq. *ἰστέον δὲ ὅτι τὸν Πάτροκλον ἡ παλαιὰ ἱστορία καὶ συγγενῆ τῷ Ἀχιλλεῖ παραδίδωσι λέγουσα, ὅτι Ἡσίοδός φησι Μενοίτιον, τὸν Πατρόκλου πατέρα, Πηλέως εἶναι ἀδελφόν, ὡς εἶναι αὐτανεψίους οὕτως ἀμφοτέρους ἀλλήλοις*

85 (105)] Schol. Ven. A Hom. Z 35 *Ἀχιλλεὺς ὑπὸ τὸν Τρωικὸν πόλεμον πορθῶν τὰς περιοίκους τῆς Ἰλίου πόλεις ἀφίκετο εἰς τὴν πάλαι μὲν Μονηνίαν, νῦν δὲ Πήδασον καλουμένην, καὶ αὐτὴν σὺν ταῖς ἄλλαις ἑλεῖν. ἀπογνόντος δὲ αὐτοῦ τὴν εἰς τὸ τέλος πολιορκίαν διὰ τὴν ὀχυρότητα τοῦ τόπου καὶ μέλλοντος ἀναχωρεῖν, φασὶν εἴσω τῶν τειχῶν οὖσάν τινα παρθένον ἐρασθῆναι τοῦ Ἀχιλλέως καὶ λαβοῦσαν μῆλον εἰς τοῦτο ἐπιγράψαι καὶ ῥῖψαι εἰς μέσον τῶν Ἀχαιῶν· ἦν δὲ ἐν αὐτῷ γεγραμμένον· ʻμὴ σπεῦδ' Ἀχιλλεῦ, πρὶν Μονηνίαν ἑλεῖν· | ὕδωρ γὰρ οὐκ ἔνεστι· διψῶσιν κακῶςʼ. τὸν δὲ Ἀχιλλέα ἐπιμείναντα οὕτω λαβεῖν τὴν πόλιν τῇ τοῦ ὕδατος σπάνει· ἡ ἱστορία παρὰ Δημητρίῳ καὶ Ἡσιόδῳ*

86 (106)] **Ἦ τοι ὃ μὲν Σῆρον καὶ Ἀλάζυγον, υἱέας ἐσθλούς**
Schol. Pind. Ol. X 83 *Ἁλιρρόθιος Μαντινεὺς ὁμώνυμος τῷ Ἀθηναίῳ, ὃς ἦν Ποσειδῶνος καὶ Βαθυκλείας· τινὲς γράφουσι Σῆρος Ἁλιρροθίου, οὗ μέμνηται Ἡσίοδος· ʻἦ τοι — ἐσθλούςʼ. ἦν δὲ ὁ Σῆρος τοῦ Ἁλιρροθίου τοῦ Περιήρους καὶ Ἀλκυόνης*

87 (107)] Pausanias II 26, 7 (6) . . . *οὗτος ὁ χρησμὸς δηλοῖ*

---

85 Hesiodi nomen suspectum Sittlio *ἀπογνόντος*] *ταπεινοῦντος* cod. Ven. A (ex aliis libris corr.) *καὶ μέλλοντος*] *καὶ* om. cod. Ven. A

86 *Ἀλάζυγον* cod. E, *ἀλάζογον* codd. BQ, *Ἀλαγονόν* Sittl

μάλιστα οὐκ ὄντα Ἀσκληπιὸν Ἀρσινόης, ἀλλὰ Ἡσίοδον ἢ τῶν τινὰ ἐμπεποιηκότων ἐς τὰ Ἡσιόδου τὰ ἔπη συνθέντα ἐς τὴν Μεσσηνίων χάριν

cf. Schol. Pind. Pyth. III 14 *οἱ μὲν Ἀρσινόης, οἱ δὲ Κορωνίδος φασὶν αὐτὸν (Ἀσκληπιὸν) εἶναι. Ἀσκληπιάδης δέ φησι τὴν Ἀρσινόην Λευκίππου εἶναι τοῦ Περιήρους, ἧς καὶ Ἀπόλλωνος Ἀσκληπιὸς καὶ θυγάτηρ Ἐριῶπις·*

ἣ δ' ἔτεκ' ἐν μεγάροις Ἀσκληπιόν, ὄρχαμον ἀνδρῶν,
Φοίβῳ ὑποδμηθεῖσα, ἐυπλόκαμόν τ' Ἐριῶπιν.

καὶ †Ἀρσινόης ὁμοίως·

Ἀρσινόη δὲ μιγεῖσα Διὸς καὶ Λητόος υἱῷ
τίκτ' Ἀσκληπιὸν υἱὸν ἀμύμονά τε κρατερόν τε

88 (111)] Schol. Hesiod. Theog. 142 '*οἳ δή τοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν*'] *Κράτης ἀντὶ τούτου ἄλλον στίχον παρατίθεται 'οἳ δ' ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες'· πῶς γὰρ τοὺς αὐτοὺς (τοὺς Κύκλωπας) θεοῖς ἐναλιγκίους λέγει καὶ ἐν τῷ τῶν Λευκιππίδων καταλόγῳ ὑπὸ Ἀπόλλωνος ἀνῃρῆσθαι ποιεῖ;*

89 (113)] Schol. Ven. A Hom. Δ 195 *Μαχάων δὲ οὗτος υἱὸς Ἀσκληπιοῦ καὶ Ἀρσινόης ἢ Κορωνίδος, κατὰ δέ τινας Ἠπιόνης τῆς Μέροπος, κατὰ δὲ Ἡσίοδον Ξάνθης*

90 (114)] *Τιμάνδρην Ἔχεμος θαλερὴν ποιήσατ' ἄκοιτιν*

Schol. Pind. Ol. X 80 *τὴν δὲ πάλην ἐνίκησεν Ἔχεμος Ἀρκὰς τὸ γένος, ὑφ' οὗ φασι τὸν Ὕλλον τελευτῆσαι εἰς Πελοπόννησον κατιόντα. ἐγάμησε δὲ τὴν Τιμάνδραν. Ἡσίοδος 'Τιμάνδρην', φησίν, 'Ἔχεμος — ἄκοιτιν'*

cf. Servius in Vergil. Aen. VIII 130

---

87 post *Ἐριῶπις* ⟨*καὶ Ἡσίοδος*⟩ Boeckh *καὶ* ⟨*περὶ*⟩ *Ἀρσινόης* Werfer; in '*Ἀρσινόης*' poetae nomen latere suspicatus est Boeckh; '*Ἄσιος*' Kalkmann; alterum utrum fragmentum Catalogo adscribendum esse censuit Wilamowitz *Διὸς καὶ Λητόος* Nauck, *λητοῦς καὶ διὸς* cod. Paris. 2403, *διὸς καὶ λητοῦς* libri cett.

88 *Λευκιππιδῶν* Schoemann; ceterum cf. Wilamowitz Isyll. 80

91 (115)] Schol. Pind. Nem. X 150 de Castore et Polluce *ὁ μὲν Ἡσίοδος ἀμφοτέρους Διὸς εἶναι γενεαλογεῖ*

92 (116)] Schol. Pind. Nem. X 150 *ὁ μέντοι Ἡσίοδος οὔτε Λήδας οὔτε Νεμέσεως δίδωσι τὴν Ἑλένην, ἀλλὰ θυγατρὸς Ὠκεανοῦ καὶ Διός*

93 (117)] *Τῇσιν δὲ φιλομμειδὴς Ἀφροδίτη*
ἠγάσθη προσιδοῦσα, κακῇ δέ σφ' ἔμβαλε φήμῃ.
Τιμάνδρη μὲν ἔπειτ' Ἔχεμον προλιποῦσ' ἐβεβήκει,
ἵκετο δ' ἐς Φυλῆα, φίλον μακάρεσσι θεοῖσιν·
ὣς δὲ Κλυταιμήστρη προλιποῦσ' Ἀγαμέμνονα δῖον
Αἰγίσθῳ παρέλεκτο καὶ εἵλετο χείρον' ἀκοίτην·
ὣς δ' Ἑλένη ᾔσχυνε λέχος ξανθοῦ Μενελάου

1—7 Schol. Eurip. Orest. 249 *Στησίχορός φησιν, ὡς θύων τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο, διὸ ὀργισθεῖσαν τὴν θεὸν διγάμους τε καὶ τριγάμους καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέρας ποιῆσαι . . . καὶ Ἡσίοδος δὲ 'τῇσιν — Μενελάου'*

4 Eustathius Hom. 125, 30 *καὶ Ἡσίοδος· 'Φυλῆα, φίλον μακάρεσσι θεοῖσιν'* cf. idem Hom. 126, 11 et 797, 46

94] * * *
I *της ἀγὸς ἀνδρῶν ⟨αἰχμ⟩ητάων*

---

92 *θυγατρὸς — Διὸς* libri, cf. T. Mommsen Parerg. Pind. 39 **93**, 1 *τῇσι* libri *φιλομειδὴς* codd. MAB, *φιλομηδὴς* T 2 *προιδοῦσα* MA *κακῇ — φήμῃ* Schwartz, *κακὴν δέ σφ'* (φ^{η} A, *φ'* T, unde *φιν* Nauck) *ἔμβαλε φήμην* libri 3 *Τιμάνδρη μὲν ἔπειτ' Ἔχεμον* Geel, *τίς ἀνδρὶ μένει εἴτ' ἔχετον* MT, *πεισάνδρη μὲν ἐπεί τ' ἔχετον* A, ... (spatio relicto) *τ' ἔχετον* B 4 *φιλία* M, *φλῆα* A, *Φυλέα* Eustathii lib. ll. omnibus *θεοῖσιν* om. A 5 *κλυταιμνήστρα* libri *προλιποῦσ'* Cobet, *λιποῦσ'* libri 7 *ὧδ'* M *ἐλάθετο* MTA *ὀργισθεῖσα* MB *ἡ θεὸς* B *ποιῆσαι* Schwartz, *ἐποίησεν* libri

94 I 1 *ἐκ Μελιβοίης | μνᾶτο Φιλοκτή⟩της* Schmidt; *τηλόθεν ἐκ Κρή⟩της* Blass ΔΙΟϹ B *⟨αἰχμ⟩ητάων* Wilamowitz

ης πάντων ἀριδε̣⟨ίκετ⟩ος ἀνδρῶν
ας τε καὶ ἔγχεϊ ὀξ⟨υόε⟩ντ̣ι
ου λιπαρὴν πόλι⟨ν ε⟩ἵνεκα κούρης
Ἀργεΐης, ἣ εἶ⟩δ̣ος ἔχεν χρυσέης Ἀφ⟨ροδί⟩της
ν Χαρίτων ἀμαρ⟨ύγμ⟩ατ' ἔχουσαν
Τυνδάρεω βασ⟨ιλῆ⟩ο̣ς
ἐν λαμπ⟩ροῖσι δόμοις ⟨κούρη⟩ κυανῶπις
μεγε ε̣υ̣τ̣
κῶν

* * *

II τοσσαύτας δὲ γυναῖκας, ἀμύμονα ἔργα ἰδυίας,
πάσας χρυσείας φιάλας ἐν χερσὶν ἐχούσας.
καί νύ κε δὴ Κάστωρ τε καὶ ὁ κρατερὸς Πολυδεύκης
γαμβρὸν ποιήσαντο κατὰ κράτος, ἀλλ' Ἀγαμέμνων
γαμβρὸς ἐὼν ἐμνᾶτο κασιγνήτῳ Μενελάῳ.
υἱὼ δ' Ἀμφιαράου Ὀικλεΐδαο ἄνακτος
ἐξ⟩Ἄρ̣⟨γ⟩εος ἐμνῶντο μά̣⟨λ' ἐγ⟩γύθεν· ἀλλ' ἄρα καὶ τοὺς
ε̣ θεῶν νέ⟩μεσίς τ̣' ἀ̣
θη

* * *

III ἀλλ' οὐκ ἦν ἀπάτης ἔργον παρὰ Τυνδαρίδῃσιν.

---

2 . . . ης] urbis vel regionis nomen? ἵκετο Μηριόν⟩ης Blass 3 τοξάζεσθαι ἑκ⟩άς Blass 4 ἐκπρολιπὼν Κνωσ⟩οῦ? Blass, βῆ δ' ἐς Τυνδαρέ⟩ου Schmidt 5 Ἀργεΐης⟩Eitrem ⟨ἣ εἶ⟩δος Wilamowitz ЄΧЄ B ΧΡΥϹΗϹ B 6 sqq. coll. Fr. 92 proposuerim: . . . . τὴν δ' ἔτεκε⟩ν Χαρίτων ἀμαρ⟨ύγμ⟩ατ' ἔχουσαν | ⟨Ζηνὸς ἐν ἀγκοίνῃς καὶ⟩ Τυνδάρεω βασιλῆος | ⟨μειχθεῖσ' ἐν λαμπ⟩ροῖσι δόμοις ⟨κούρη⟩ κυανῶπις | ⟨Ὠκεανοῦ θυγάτηρ⟩ μέγ' ἐ⟨πήρατος (an ἐ⟨πήρατον εἶδος ἔχουσα?) 8 sq. ⟨ἄλοχος ⟩κυανῶπις | ⟨Λήδη⟩ Eitrem II 11 ЄΡΓЄΙΔΥΪΆϹ B 13 ΚΆΙ B 17 ἐξ⟩ Wilamowitz μά̣⟨λ' ἐγ⟩γύθεν idem 18 νέ⟩μεσίς τ̣' ἀ̣⟨νθρώπων Crönert

ἐκ δ' Ἰθάκης ἐμνᾶτο Ὀδυσσῆος ἱερὴ ἴς,
υἱὸς Λαέρταο πολύκροτα μήδεα εἰδώς.
δῶρα μὲν οὔ ποτ' ἔπεμπε τανυσφύρου εἵνεκα κούρης·
ᾔδεε γὰρ κατὰ θυμόν, ὅτι ξανθὸς Μενέλαος
νικήσει· κτήνει γὰρ Ἀχαιῶν φέρτατος ἦεν·
ἀγγελίην δ' αἰεὶ Λακεδαίμονάδε προΐαλλε
Κάσ̣<τ>ο̣ρ̣<ί θ' ἱ>πποδάμῳ καὶ ἀεθλοφόρῳ Πολυδεύκει.
ο>νος υἱός
ἔε>δ̣να
λ̣<α>β̣ο̣ῦ̣σ̣α̣

* * *

IV *Κάστορί θ' ἱπποδάμῳ καὶ ἀεθλοφόρῳ Πολυδεύκει*
ἱμείρων Ἑλένης πόσις ἔμμεναι ἠυκόμοιο,
εἶδος οὔ τι ἰδών, ἀλλ' ἄλλων μῦθον ἀκούων.
ἐκ Φυλάκης δ' ἐμνῶντο δύ' ἀνέρες ἔξοχ' ἄριστοι,
υἱός τ' Ἰφίκλοιο Ποδάρκης Φυλακίδαο
ἠύς τ' Ἀκτορίδης ὑπερήνωρ Πρωτεσίλαος·
ἄμφω δ' ἀγγελίην Λακεδαίμονάδε προΐαλλον
Τυνδαρέου π̣<οτ>ὶ̣ δῶμα̣ δαΐφρονος Οἰβαλίδαο,
πολλὰ δ' ἔεδν<α δίδον>, μέγα γὰρ κλέος <ἔσκε γυ>ναικός,
χαλ̣κ̣
χρυ̣<σ

III 21 ΪΕΡΗΕΙϹ B 22 *πολύτροπα* Quint. Smyrn. V 238, qui locum imitatur, unde duplicem lectionem statuit Wilamowitz 23 ΤΑΝΙϹΦΥΡΟΥ B 24 ΗΔΕΕ B 25 *νικήσει·* Wilamowitz, ΝΕΙΚΉϹΗ B ΚΤΗΝΩ addito Ι B, *κτήνει* Wilamowitz, *κτεάνοις* (*κτήνοις*?), *κτῆσιν*? Blass, *κτητῷ* Ludwich 26 ΠΡΟΙΑΛΛΕΝ B 27 ΠΟΛΥΔΈΥΚΕΙ B 28 *Εὐαίμο>νος* ex Hom. *B* 736 al. Wilamowitz IV 32 ΕΙΜΕΙΡΩΝ B 33 *εἶδός Ϝ'* antiquitus scriptum fuisse censet Wilamowitz, *εἶδός <γ'>* Ludwich 35 ΤΕΙΦΙΚΛΟΙΟ B 36 ΤΕ B ΫΠΕΝΗΝΩΡ B, corr. Wilamowitz 38 *π<οτ>ὶ* cf. Fr. 96,21 39 *ἔεδν<α δίδον>* e v. 44 Wilamowitz *<ἔσκε γυ>ναικός* idem

* * *

V Ἀργεΐης Ἑλένης πόσις ἔμμενα<ι ἠυκόμοιο.
ἐκ δ' ἄρ' Ἀθηνέων μνᾶθ' υἱὸς Π<ετεῶο Μενεσθεύς,
πολλὰ δ' ἔεδνα δίδου· κειμήλια γ<ὰρ μάλα πολλὰ
ἔκτητο χρυσόν τε λέβητάς τ<ε τρίποδάς τε
καλά, τά ῥ' ἔνδοθι κεῦθε δόμος <Πετεῶο ἄνακτος,
οἷς μιν θυμὸς ἀνῆκεν ἐεδνώσ<ασθαι ἄκοιτιν,
πλεῖστα πορόντ', ἐπεὶ ο<ὔ> τιν' ἐέλπε<το φέρτερον εἶναι
πάντω>ν ἡρώων κτήνεσσί τε δω<τίναις τε
τ̣ειδ̣αο̣ δ̣ο̣μους κρατερὸς
Ἑλένη>ς ἕνεκ' ἠυ̣<κόμοιο

* * *

Papyrus musei Berolinensis 9739 (= B) alterius saec. ed. Wilamowitz Sitzungsb. d. preuss. Akad. 1900 p. 839 sqq., cf. Berl. Klassikertexte V 1, 28 sqq.

95 (118)] Schol. Townl. Hom. *T* 240 *Λυκομήδεα*] *Κρὴς ὁ Λυκομήδης, ὥς φησιν Ἡσίοδος καταλέγων τοὺς μνηστῆρας Ἑλένης*

96 (119)] * * *

I μνᾶτο· πλεῖστα δὲ δῶρα μετὰ ξανθὸν Μενέλαον

V ante 42 *μάλα δ' ἤθελε θυμῷ* e Fr. 96, 14 (vel *μάλα δ' ἤθελε ὃν κατὰ θυμὸν* e Fr. 96,2) scriptum fuisse apparet 42 *ἠυκόμοιο* e v. 32 addidit Wilamowitz 43 *Π<ετεῶο Μενεσθεύς* ex Hom. *B* 552 idem *γ<ὰρ — πολλὰ* idem 45 ЄΚΤΗ͂ΤΟ B *τ<ε τρίποδάς τε* Wilamowitz 46 ΚΑΛΑΤΑΡ B, *κάλ', ἀτὰρ* Ludwich; *καλά, τά τ'* Wilamowitz *<Πετεῶο ἄνακτος* idem 47 *ἐεδνώσ<ασθαι ἄκοιτιν* idem, *ἐεδνῶσ<αι παράκοιτιν* Blass 48 *ἐέλπε<το — εἶναι* Wilamowitz 49 *<πάντω>ν* idem *δω<τίναις τε* idem 50 *κάλλιπε δ' Οἰ>νείδαο* Schmidt *κρατερὸς <Λυκομήδης?* e Fr. 95 Wilamowitz, *<Διομήδης* Schmidt 51 *Ἑλένη>ς ἕνεκ' ἠ<υκόμοιο* ex Hom. Wilamowitz
95 *Λυκομήδης ὁ Κρέοντος* temere Engelmann
96 ante columnam I perexigua litterarum vestigia di-

μνηστήρων ἐδίδου· μάλα δ' ἤθελε ὃν κατὰ θυμὸν
Ἀργείης Ἑλένης πόσις ἔμμεναι ἠυκόμοιο̣.

Αἴας δ' ἐκ Σαλαμῖνος ἀμώμητος πολεμιστὴς
μνᾶτο· δίδου δ' ἄρ' ἔεδνα ἐ̣⟨οι⟩κότα, θαυματὰ ἔργα·
οἳ γὰρ ἔχον Τροιζῆνα καὶ ἀγχίαλον Ἐπίδαυρον
νῆσόν τ' Αἴγιναν Μάσητά τε κοῦρ̣ο̣⟨ι⟩ Ἀχαιῶν
καὶ Μέγαρα σκιόεντα καὶ ὀφρυόεντα Κόρινθον
Ἑρμιόνην Ἀσίνην τε παρὲξ ἅ̣λ̣α ναιεταώσας,
τῶν ἔφατ' εἰλίποδάς τε βόας κα̣ὶ̣ ⟨ἴ⟩φ̣ι̣α̣ μ̣ῆλα
συνελάσας δώσειν, ἐκέκαστο γὰρ ἔγχεϊ μα̣κρῷ.

αὐτὰρ ἀπ' Εὐβο⟨ί⟩ης Ἐλεφήνωρ, ὄρχαμ̣ο̣ς ⟨ἀνδρ⟩ῶ̣ν,
Χαλκωδοντιάδης, μεγαθύμων ⟨ἀ⟩ρ̣⟨χὸς Ἀβάντων,
μνᾶτο· πλεῖστα δὲ δῶρα δίδ⟨ου⟩· μάλ⟨α⟩ δ̣' ⟨ἤθελε θυμῷ
Ἀργείης Ἑλένης πόσις ἔμμενα⟨ι ἠυκόμοιο.

ἐκ Κρήτης δ' ἐμνᾶτο μέγα σθένο̣⟨ς Ἰ⟩δ̣ο̣μ̣⟨ενῆος,
Δευκαλίδης Μίνωος ἀγακλειτοῖο̣ γ⟨εν⟩ἐ̣⟨θλη,
οὐδέ τινα μνηστῆρα μ̣ε̣τάγγελον ἄ̣λ̣λ̣⟨ον ἔπεμψεν,
ἀλλ' αὐτὸ̣ς ⟨σ⟩ὺν νηὶ πολυκλήιδι μελαίν̣η̣
βῆ ὑπὲρ Ὠ̣γυ̣λίου πόντου διὰ κῦμα κελαι⟨νὸν
Τυνδαρέου ποτὶ δῶμα δαΐφρονος, ὄφρ' ⟨ἀγάγοιτο

---

spexisse sibi videtur Crönert (v. 8 K. C, 10 Λ, 13 ι) 4 ΕΞΑΛΑΜΕΙΝΟC E 5 sqq. cf. Hom. *B* 560. 562 5 ΑΡΑΕΔΝΑ E (cf. Fr. 94, 39, 44, 47) 7 νῆσόν τ'] sic in Hom. *B* 562 'τινές' ap. Strabon. VIII 375 et Certamen 281; οἵ τ' ἔχον Hom. codd. ΑΙΓΕΙΝΑΝ E ΜΑCΗΤΑ signo \ (fuitne alterum C?) super prius Α addito 10 ΕΦΕΤ E 13 ex Hom. *B* 541 rest. Wilamowitz 14 πλεῖστα (= permulta) scribendum videtur; ΠΟΛΛΑ E ⟨ἤθελε θυμῷ suppl. Wilamowitz 15 ⟨ἠυκόμοιο cf. Fr. 94,32 16 Ἰ⟩δ̣ο̣μ⟨ενῆος cf. Hom. *N* 248 17 γ⟨εν⟩ἐ̣⟨θλη scripsi, π̣⟨ολ⟩ε̣⟨ίτης Wilamowitz 18 clausulam rest. idem 20 Ὠγυ̣λίου idem, cf. Fr. 70, ΩΓΥΝΟΥ E κελαι⟨νὸν rest. idem, ΜΕΛΑΙΝ . . E 21 ⟨ἀγάγοιτο idem

Ἀ⟩ϱ̣⟨γείην⟩ Ἑλένην, μηδ' ἄλλος† οἷο̣ν̣? ἄκ⟨οιτιν
σχοίη, τῆς κ⟩λ̣έ̣α̣ πᾶσαν ἐπὶ̣ χθόνα δῖαν ἵκαν⟨εν.
ἐνν⟩ε̣σίῃ Ζηνὸς μέγα ⟨δυναμένοιο
ετ

* * desiderantur versus sex * *

ἄ⟩κο̣⟨ι⟩τιν
εδε̣
δ
ε̣ιζ ι
νε ψων
κα β̣α̣θείῃ
κ ε̣ἵν̣ε̣κα κούρης
⟩οὔτ̣' ⟨ἤθ⟩ελε ν ἕκα⟨στ . .
πά⟩ν̣τας δὲ μνηστῆρ⟨ας⟩ ἀπ̣ή̣τ̣εε̣ν̣ ⟨ὅ⟩ρ̣κ̣⟨ια πιστὰ
ὀ⟩μνύμεναί τ' ἐκέλευσ̣⟨ε⟩ καὶ ⟨. . . .⟩τ̣ῳ̣? ἀ . . ασθαι
σπονδῇ, μή τιν' ἔτ' ἄ̣λ̣λ̣ον ⟨ἄ⟩νευ ἕθεν ἄλλα π̣⟨εϱᾶναι
ἀμφὶ γάμῳ κού̣ϱ̣ης εὐ⟨ω⟩λ̣⟨ένου· ὅ⟩ς ⟨δέ κ⟩ε̣ν ἀνδρῶ̣⟨ν
αὐτὸς ἕλοιτο βίῃ νέμεσίν τ' ἀπ⟨ο⟩θε̣ῖ̣το καὶ αἰδῶ,
τὸν μέτα πά̣ν̣τας ἄνωγεν ἀολλέας ὁρμηθῆνα̣⟨ι
ποινὴ̣ν̣ τεισομένους. τοὶ δ' ἀπτερέως ἐπί̣θ̣ο̣ν̣⟨το
ἐλπόμενοι τελέειν πάντες γάμον, ἀ̣λ̣λ̣' ἅ̣⟨μα πάντας

---

22 Ἀ⟩ϱ̣⟨γείην cf. Fr. 94, 42; 96, 3, 15 ΜΗΔΕ E † ΑΛΛΟCOΙΟΝΑΚ . . . . . E, ἀλλοῖός τις? Klouček, ἄκ⟨οιτιν Wilamowitz; ἄλλος οἷ παϱακοίτης | εἴη, τοῦ Ludwich 23 σχοίη⟩ scripsi ⟨τῆς⟩ Wilamowitz; κ⟩λ̣έ̣α̣ Schubart 24 ἐνν⟩εσίῃ Klouček, παϱ⟩αιφασίῃ Crönert ⟨δυναμένοιο ex Hom. α 276 dedi 39 οὔτ' ⟨ἤθ⟩ελε Schubart . . . ν ἕκα⟨στ. . idem 40 ἀπήτεεν ⟨ὅ⟩ϱκ⟨ια Wilamowitz 41 . . Ι . . ω Ι, ⟨ἀκϱή⟩τῳ? ex Hom. B 341 Α . . ΑCΘΑΙ E, ἀϱάασθαι Wilamowitz 42 π̣⟨εϱᾶναι dubitans scripsi, π̣⟨ένεσθαι vel π̣⟨ονεῖσθαι Wilamowitz, ΓΑ . . . . . Crönert 43 εὐ⟨ω⟩λ̣⟨ένου, ὅς δέ⟩ supplevit Wilamowitz κ⟩ΕΝ E, μιν Wilamowitz 44 δ' (pro Τ) malit idem 46 ΤΕΙCOΜΕΝΟΥC· E 47 ἅ⟨μα scripsi, ἄ⟨ϱα Wilamowitz πάντας idem

II *Ἀτρε⟨ΐδ⟩ης ⟨νίκησε⟩ν ἀρηίφιλος Μενέλαος*
πλεῖ̣⟨στ⟩α πορών. Χ̣ίρ̣ων δ' ἐνὶ Πηλίῳ ὑλήεντι
Πηλεΐδην ἐκ̣ό̣μιζε πόδας ταχὺν ἔξοχον ἀνδρῶν
παῖδ' ἔτ' ἐόν⟨τ'⟩· οὐ γάρ κεν ἀρηίφιλος Μενέλαος
νίκησ' οὐδέ τις ἄλλος ἐπιχθονίων ἀνθρώπων
μνηστεύων Ἑλένην, εἴ μιν κίχε παρθένον οὖσαν
οἴκαδε νοστήσας ἐκ Πηλίου ὠκὺς Ἀχιλλεύς,
ἀλλ' ἄρα τὴν πρίν γ' ἔσχεν ἀρηίφιλος Μενέλαος.

>———

B *ἣ τέκεν Ἑρμιόνην καλλίσφυρον ἐν μεγάροισιν*
ἄελπτον. πάντες δὲ θεοὶ δίχα θυμὸν ἔθεντο
ἐξ ἔριδος· δὴ γὰρ τότε μήδετο θέσκελα ἔργα
Ζεὺς ὑψιβρεμέτης, μεῖξαι κατ' ἀπείρονα γαῖαν
τυρβασίας, ἤδη δὲ γένος μερόπων ἀνθρώπων
πολλὸν ἀιστῶσαι, τ̣ῶ̣ν̣ δὲ π̣ρ̣⟨ό⟩φ̣ασιν μὲν ὀλέσσαι
ψυχὰς ἡμιθέω⟨ν, ἵνα μὴ δειλ⟩οῖσι βροτοῖσιν
τέκνα θεῶν μι⟨γέῃ, μόρον ὀφ⟩θαλμοῖσιν ὁρῶντα,
ἀλλ̣' οἱ μ⟨ὲ⟩ν μάκ̣⟨α⟩ρ̣ε̣ς̣ ⟨καὶ ἐς ὕστερο⟩ν ὡ̣ς̣ τ̣ὸ̣ πάρος περ
χωρ̣ὶς ἀπ' ἀν⟨θ⟩ρ̣ώπων ⟨βίοτον κα⟩ὶ ἤθε' ἔχωσιν
τ . . . . . μ̣αλ . . . νατ̣ *θνητῶν ἀνθρώπων*

---

48 *νίκησε⟩ν* e v. 52 idem (cf. Fr. 94, 25) 49 Χ̣Ε̣Ι̣ΡΩΝ E ΕΝ E, cf. Fr. 19, 2 51 *κεν* Wilamowitz, ΜΙΝ E **B** iuxta v. 56 (*λόγος δεύτερος?*) E 58 ΤΟΓΕ E, corr. Wilamowitz 59 ΜΕΙΞΑΙ E 60 *τυρβασίας* dedi, ΤΥΡΒΑΞΑϹ E 61 post *ἀιστῶσαι* interpunxi; *τυρβάξας* retinens *⟨σπεῦ⟩δε, π̣⟨ρό⟩φασιν* Wilamowitz; Τ̣Ω̣Ν̣(vel Ι)ΔΕΠ̣Ρ̣.ΦΑϹΙΝ E teste Schubart *τ̣ῶ̣ν̣ δὲ* et *ὀλέσσαι* scripsi, ΟΛΕϹΘΑΙ E 62 *⟨ἵνα μὴ δειλ⟩οῖσι* (vel *⟨μὴ ἐπιχθονί⟩οισι*) Wilamowitz 63 *μι⟨γέῃ* scripsi, ΜΙ . . . Ι E, *μι⟨χθῇ* Wilamowitz *μόρον ὀφ⟩θαλμοῖσιν* idem, *μι⟨γέωσιν ἐν ὀφ⟩θαλμοῖσιν* Ludwich 64 *⟨καὶ ἐς ὕστερον⟩* supplevi, *⟨αἰώνιον⟩* Ludwich 65 *⟨βίοτον κα⟩ὶ* Wilamowitz

μ̣ ἄλγος ἐπ' ἄλγει
Ζεύ̣⟨ς φ̣α̣ς̣ ἔκερσε
ο ἐρ̣⟨ί⟩ζει̣?
ἐ⟩π̣ὶ̣ μαστ̣ῷ
μ̣⟨η⟩δ̣έ τις ἀν⟨δ⟩ρῶν
νηῶν τε⟩ μελαιν̣άων ἔπι βαίη
χερσίν τε β⟩ίηφι τε φέρτατος εἶναι
ε καταθνητῶν ἀνθρώπων
ὅσσα τ' ἔην ὅσα τ' ἐ⟩στὶ καὶ ὁππόσα μέλλει ἔσεσθαι
πᾶσι θεμιστεύων μέγ⟩α̣ μήδεται ἠδὲ γεραίρει
βουλὰς πατρὸς ἑοῖο⟩, Διὸς νεφεληγερέταο
α α ὅ̣τ̣τ̣ι̣ φράσσασθαι ἔμελλεν,
οὔτε θ⟩ε̣ῶ̣⟨ν μ̣α̣κάρων ο̣ὔ̣τ̣ε̣ θνητῶν ἀνθρώπων,
παμπ⟩όλλ̣ας Ἀίδη̣ κεφαλὰς ἀπὸ χαλκὸν ἰά̣ψ⟨ει⟩ν̣
ἀν⟩δρῶν ἡ̣ρ̣ώων ἐνὶ δηιοτῆτι πεσόντων.
ἀ⟩λλ' οὔ πω ⟨τ⟩ότε πατρὸς ἐπησθάνετο φρενὸς ὁ̣ρ̣μή⟨ν.
ο⟩ἷ̣ά̣ τε κῆρ' ἀλεείνοντες σφετέροισι τέκεσσι
τ⟩έ⟨ρ⟩ποντ' ἄνθρωποι, πραπίδων ἐπετέρπετ' ἐρωῇ
πα⟩τ̣ρ̣ὸ̣ς̣ ἐρισθενέος μεγάλ' ἀνδράσι μηδομένοιο.

---

67 ἄ⟩μ' Ludwich ἐπ' ἄλγει Klouček, ЄΠΑΛΓЄΙΝ E, ἐπαρκεῖν C. (Litt. Centralbl. 1907, 443) 68 ἥρ⟩ω̣α̣ς̣? 69 ἐρ̣ίζει̣? dedi, ЄΡ⟨Ι⟩ΖЄΙ̣? E 71 μ̣⟨η⟩δ̣έ Wilamowitz 72 νηῶν τε⟩ scripsi ΒΑΙΗΙ· E 73 χερσίν τε ex Hom. φ 373 Wilamowitz 75 ὅσσα τ' ἔην ipse scripsi, ὅσα τ' ἐ⟩στὶ Wilamowitz, cf. Emped. Fr. 21, 9 ὅσα τ' ἦν ὅσα τ' ἔστι ΜЄΛЄΙ E 76 πᾶσι θεμιστεύων⟩ ex Hymn. Hom. Ap. Pyth. 75, 115 conieci μέγ⟩α Wilamowitz 77 βουλὰς πατρὸς ἑοῖο⟩ dedi 78] v. 82 ante 78 collocato scripserim: οὐ γάρ τις σάφα (τότε) ἤδε'⟩, ὅ̣τ̣ι̣ 79 οὔτε θ⟩ε̣ῶ̣⟨ν⟩μ̣α̣κάρων ο̣ὔ̣τ̣ε̣ dispexit Crönert, quam lectionem mihi per litteras probavit Schubart 80 παμπ⟩όλλ̣ας dedi χαλκῷ? Klouček 81 ЄΝ E, cf. v. 49 82 ante 78 transposuerim τ⟩ότε Klouček, π⟩οτε Wilamowitz 83 ⟨ο⟩ἷα idem, ἀ⟩λ̣λ̣ά̣ Crönert 84 ΔЄΠЄΤЄΡΠЄΤ E, Δ deleta videtur esse 85 ЄΡΙϹΘЄΝΟϹ E

πολλὰ δ' ἀπὸ βλωθρῶν δένδρων ἀμύοντα χαμᾶζε
χ>ẹύετο καλὰ πέτηλα, ῥέεσκε δὲ καρπὸς ἔραζε
πν>είọ<ν>τος Βορέαο περιζαμενὲς Διὸς αἴσῃ·
ἔ̣ζεσκεν δὲ θάλασσα, τρόμεσκε δὲ πάντ' ἀπὸ τοῖο,
τ̣ρύχεσκεν δὲ μένος βρότεον, μινύθεσκε δὲ καρπὸς
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἄτριχος οὔρεσι τίκτει
γ>ạ<ί>ης ἐν κευθμῶνι τρίτῳ ἔτεϊ τρία τέκνα·
ἔαρο>ς̣ μὲν κατ' ὄρος καὶ ἀνὰ δρυμὰ πυκνὰ καὶ ὕλην
>ν̣ ἀ̣<λ>υ̣<σ>κάζων καὶ ἀπ<ε>χ̣θαίρων πάτον ἀνδρῶν
III ἄγκεα καὶ κνημοὺς κατ̣α
χειμῶνος δ' ἐπιόντος ὑπὸ̣
κεῖται πόλλ' ἐπιεσσάμεν<ος> ἐ< φύλλα
δεινὸς ὄφις κατὰ νῶτα δα<φοινὸς . . .
ἀλλά μιν ὑβριστήν τε κα̣ὶ <ἄγριον, οὔ τι φατειόν,
κῆλα Διὸς δαμνᾷ̣ φημ̣
ψυχὴ τοῦ γ' οἴη καταλείπε<ται
ἡ δ' ἀμφ' αὐτόχυ̣τον θάλαμ̣<ον τρίζουσα ποτᾶται
ἠβαιήν· ἐ<πί> θ' ἱρὰ κατὰ χθ<ονὸς εὐρυοδείης?

---

86 ΓΛΩΘΡΩΝ E, corr. Wilamowitz, χλωρῶν Epim. Anecd. Ox. ΔΕΝΔΡΩΝ E, δενδρέων Epim. 87 χ>ẹύετο Wilamowitz 88 ἔ̣ζεσκεν Schubart, Ε . ΡΕCΚΕ (ἔ<ρ>ρεσκε superscripto ζ?) E, ἔκζεσκεν Ludwich, ῥοίζεσκεν Schmidt 89 ΤΡΟΜΕΕCΚΕ E, corr. Wilamowitz 90 β>ρύχεσκεν Ludwich 92 γ>α<ί>ης Schubart-Wilamowitz, ΚΟΠ . ΩΝ legit Crönert 93 ἔαρο>ς scripsi, cf. Op. 462, 492 Mimnerm. Fr. 2, 2; ἦρο>ς Wilamowitz ΔΡΥΜΝΑ E, corr. idem 94 ἀγρὸ>ν̣ Crönert, αὖλι>ν̣ Schmidt, θῆρα>ς ἀ<λ>υ<σ>κάζων Wilamowitz 95 κάτ' ἀ<λᾶται? κατα<βόσκεται Wilamowitz 96 <σπέσσιν γλαφυροῖσι? supplevi 97 in marg. superiore additus ἐ<. . . . . . φύλλα dedi 98 δα<φοινὸς Wilamowitz 99 <ἄγριον ex Hom. ι 175 idem, οὔ τι φατειόν addidi 100 ΦΗΜ . . . . E, φὴ π<εύκην ὑψικάρηνον Crönert 101 καταλείπε̣<ται Wilamowitz; <ἐν χθονὶ δίῃ> addendum? 102 <τρίζουσα Klouček, ποτᾶται ipse supplevi 103 ΗΒΑΙΗΝ E ἐ<πί> Wilamowitz θ' ἱρά]

εἶσιν ἀμαυρῳ⟨θ⟩ε⟨ῖ⟩σ⟨α⟩ ποθ
κεῖται δὲ
ὧραι τεκφ
τέρψῃ δ᾽ α
αὖθις ἐπι
γαίης τε
ἔνθεν ἀ⟩πορνυμένη?
θήλει᾽ ἐρ.
ἐς φῶς · ο
φράζετο
ἔρχετ
ἤπια τη
γαίη ὡς
πότμο
ἶᾶσθαι
οἳ δ᾽ ἀνδ
νούσων
ἀλλὰ τα
τηλεθό⟨ω
τοῖσι δὲ
τρὶς τοι
ἐπλη.υ
εἶσιν δ
φῦλον
δ
desiderantur versus quinque
τ
θ
φα
ενυ
ζωη
νόσφ⟨ι
κηρ
καὶ γὰ⟨ρ
ἀγρο

* * *

1—142 papyrus musei Berolinensis 10560 saec. III ed. Schubart et Wilamowitz Berl. Klassikertexte V 1, 31 sqq., cf. Crönert Herm. XLII 608 sqq.

8 (antea Fr. 214) Porphyrius Quaest. hom. ad Od. (α 365) pertin. p. 22,9 Schr. (ap. Eustathium Hom. 1424,6) *ὅτι δ᾽ ἐντεῦθεν λαβὼν Ἡσίοδος καὶ τὰ ʻΜέγαραʼ τὴν χώραν ʻσκιόενταʼ ἔφη, ὁ Πορφύριος δηλοῖ*

ΤΕΙΡΑ Ε *χθον⟨ὸς εὐρυοδείης* proposuerim 105 ΔΕ? (ΔΕΙ Crönert) E 106 ΤΕΚΦ ... E *τ᾽ ἐκ φ* ... Wilamowitz, *τε κρυ⟨ε-ραί* Crönert 110 *ἀ⟨πορνυμένη?* conieci 119 ΟΙΔΑΝΔ ... E teste Schubart 125 *ἐπλή⟨μ⟩υ⟨ρε* Crönert 128 Δ ... E 138 ΖΩΗ legit Crönert

40 sq. Schol. vet. Lycophr. 204 . . . . . *ἐπειδὴ καὶ τὸ πρῶτον ὅρκους ἔδωκαν περὶ τῆς Ἑλένης, ὥς φησιν Ἡσίοδος*

46 (antea Fr. 234) Herodianus *περὶ παθῶν* Fr. 168 (Et. gen. s. v.) *ʽἀπτερέωςʼ παρʼ Ἡσιόδῳ ὥσπερ τὸ ἀψοφέως. σημαίνει δὲ τὸ αἰφνιδίως. ἀποπτέρων ἀπτέρων ἀπτέρως ἀπτερέως. οὕτως Ἡρωδιανός*

cf. Et. mag. v. *ἀψεγέως . . . ὅμοιον δὲ τούτῳ καὶ τὸ ʽἀπτερέωςʼ παρʼ Ἡσιόδῳ*

51 sqq. (antea Fr. 96) Pausanias III 24, 10 *καὶ ὅτι μὲν τῶν Ἑλένης μνηστήρων Ἀχιλλεὺς οὔκ ἐστιν ἐν Καταλόγῳ γυναικῶν, μηδὲν τοῦτο ἔστω τεκμήριον οὐκ αἰτῆσαι Ἑλένην αὐτόν*

86 (antea Fr. 216) Epim. Hom. Anecd. Ox. I 85 Cr. *ʽπολλὰ δʼ ἀπὸ χλωρῶν δενδρέων ἀμύοντα χαμᾶζεʼ ἀντὶ τοῦ μύοντα*

Et. gen. v. *ἠμύω καὶ ἤμυσεν· . . . ὁ δὲ Ἡσίοδος ἀμύω εἶπεν μετὰ τοῦ ᾱ οἷον ʽἀμύοντα χαμᾶζεʼ*

97 (120)] Schol. Ven. A Hom. *T* 116 *ἄλοχον Σθενέλου] Δίδυμος παρατίθεται Φερεκύδην μὲν λέγοντα αὐτὴν τὴν Πέλοπος Ἀμφιβίαν· Ἡσίοδος δὲ Ἀντιβίαν τὴν Ἀμφιδάμαντος ἀποφαίνεται*

aliter Schol. Townl. Hom. l. c. *οἱ μὲν Ἀμφιβίαν τὴν Πέλοπος, οἱ δὲ Ἀντιβίαν τὴν Ἀμφιδάμαντος. Ἡσίοδος δὲ Νικίππην φησὶ τὴν Πέλοπος*

98 (121)] Schol. Ven. A et min. Hom. *A* 7 *Ἀγαμέμνων κατὰ μὲν Ὅμηρον Ἀτρέως τοῦ Πέλοπος, μητρὸς δὲ Ἀερόπης, κατὰ δὲ Ἡσίοδον Πλεισθένους* (cf. Schol. Ven. A Hom. *B* 249)

v. Eustathius Hom. 21, 14 Schol. Tzetzae Alleg. Anecd. Ox. III 378, 9 Cr.

Tzetzes Exeg. Iliad. 68, 19 H. *ὁ Ἀγαμέμνων, ὁμοίως δὲ καὶ Μενέλαος καθʼ Ἡσίοδον καὶ Αἰσχύλον Πλεισθένους υἱοῦ Ἀτρέως παῖδες νομίζονται· . . . κατὰ δὲ Ἡσίοδον καὶ Αἰσχύλον καὶ ἄλλους τινὰς Ἀτρέως καὶ Ἀερόπης Πλεισθένης*

Πλεισθένους δὲ καὶ Κλεόλλας τῆς Δίαντος Ἀγαμέμνων Μενέλαος καὶ Ἀναξιβία· νέου δὲ τοῦ Πλεισθένους τελευτήσαντος ὑπὸ τοῦ πάππου αὐτῶν ἀνατραφέντες Ἀτρέως Ἀτρεῖδαι πολλοῖς ἐνομίζοντο

99 (122)] *Ἣ τέκεθ' Ἑρμιόνην δουρὶ κλειτῷ Μενελάῳ·*
ὁπλότατον δ' ἔτεκεν Νικόστρατον, ὄζον Ἄρηος

Schol. Laur. Soph. El. 539 *ὅμως οὖν συμφωνεῖ αὐτῷ (Σοφοκλεῖ) Ἡσίοδος· „ἣ — Ἄρηος'*

100 (123)] Philodemus *περὶ εὐσεβ.* 24 G. *Στη⟨σίχορο⟩ς δ' ἐν Ὀρεστεί⟨ᾳ κατ⟩ακολουθήσας ⟨Ἡσιό⟩δῳ? τὴν Ἀγαμέ⟨μνονος Ἰ⟩φιγένειαν εἶ⟨ναι τὴ⟩ν Ἑκάτην νῦν ⟨ὀνομαζ⟩ομένην ⟨καὶ π⟩ερὶ . . . . αιαν τὸν τά⟨φο⟩ν ε⟨ἶναι*

Pausanias I 43, 1 . . *ἐγὼ δὲ ἤκουσα μὲν καὶ ἄλλον ἐς Ἰφιγένειαν λόγον ὑπὸ Ἀρκάδων λεγόμενον, οἶδα δὲ Ἡσίοδον ποιήσαντα ἐν Καταλόγῳ γυναικῶν Ἰφιγένειαν οὐκ ἀποθανεῖν, γνώμῃ δὲ Ἀρτέμιδος Ἑκάτην εἶναι*

101 (124)] Eustathius Hom. 13, 44 sq. *ἦν δέ, φασι, Βούτης υἱὸς Ποσειδῶνος, ὡς Ἡσίοδος ἐν Καταλόγῳ*
(cf. Phavorinus Ecl. Gramm. Gr. I 361, 8 D.)

102 (126)] Pausanias II 6, 5 *Σικυῶνα δὲ οὐ Μαραθῶνος τοῦ Ἐπωπέως, Μητίονος δὲ εἶναι τοῦ Ἐρεχθέως φασίν* (Sicyonii). *ὁμολογεῖ δέ σφισι καὶ Ἄσιος, ἐπεὶ Ἡσίοδός γε καὶ Ἴβυκος, ὁ μὲν ἐποίησεν ὡς Ἐρεχθέως εἴη Σικυών, Ἴβυκος δὲ εἶναι Πέλοπός φησιν αὐτόν*

99, 1 *δουρικλυτῷ* cod. Laur., *δουρικλειτῷ* Wunder *οὖν* Wolff, *οὐ* cod. Laur., *οὕτω* Elmsley Hesiodi nomen num recte traditum sit, addubitat Sittl

100 ⟨*Ἡσιό*⟩*δῳ*] Gomperz, · · · ΤΩ papyrus ⟨*καὶ π*⟩*ερὶ* — *εἶ⟨ναι* Sauppe, · · · ΕΡΙ · · · ΑΙΑΝΡΗΤΑ · ΝΕ pap. *Ἀρκάδων* cum *Ἀργείων* ethnico Pausaniam commutasse arbitratur Wilamowitz

103 (128)] Ὃς βασιλεύτατος ἔσκε καταθνητῶν βασιλήων
καὶ πλείστων ἐάνασσε περικτιόνων ἀνθρώπων
Ζηνὸς ἔχων σκῆπτρον· τῷ καὶ πολέων βασίλευεν

1—3 Pseudoplato Min. p. 320 D εἴρηκε δὲ καὶ Ἡσίοδος ἀδελφὰ τούτων εἰς τὸν Μίνων· μνησθεὶς γὰρ αὐτοῦ τοῦ ὀνόματος φησὶν 'ὃς — βασίλευεν'

1 de 'βασιλεύτατος' cf. Plutarchus Thes. 16

104 (129)] Εὐρυγύης δ' ἔτι κοῦρος Ἀθηνάων ἱεράων

Hesychius v. ἐπ' Εὐρυγύῃ ἀγών. Μελησαγόρας τὸν Ἀνδρόγεων Εὐρυγύην εἰρῆσθαί φησι τὸν Μίνωος, ἐφ' ᾧ τὸν ἀγῶνα τίθεσθαι ἐπιτάφιον Ἀθήνησιν ἐν τῷ Κεραμεικῷ· καὶ Ἡσίοδος 'Εὐρυγύης — ἱεράων'

105 (130)] Δεινὸς γάρ μιν ἔτειρεν ἔρος Πανοπηίδος Αἴγλης

Plutarchus Thes. 20 πολλοὶ δὲ λόγοι καὶ περὶ τούτων ἔτι λέγονται καὶ περὶ τῆς Ἀριάδνης . . . . . . ἀπολειφθῆναι δὲ τοῦ Θησέως ἐρῶντος ἑτέρας· 'δεινὸς — Αἴγλης'. τοῦτο γὰρ τὸ ἔπος ἐκ τῶν Ἡσιόδου Πεισίστρατον ἐξελεῖν φησιν Ἡρέας ὁ Μεγαρεύς

Athenaeus XIII 557 a Ἡσίοδος δέ φησιν καὶ Ἵππην καὶ Αἴγλην (τὸν Θησέα νομίμως γῆμαι), δι' ἣν καὶ τοὺς πρὸς Ἀριάδνην ὅρκους παρέβη, ὥς φησι Κέρκωψ

106 (131)] Philochorus ap. Harpocration. (cf. Suidas et Photius) v. Μελίτη· δῆμός ἐστι τῆς Κεκροπίδος· κεκλῆσθαι δέ φησι

103, 1 ἔσκε καταθνητῶν (vel Μίνως, ὃς βασιλεύτατος ἦν θνητῶν βασιλήων) Schneidewin, ὃς θνητῶν βασιλεύτατος ἦεν ἀνάκτων Ellis; γένετο θνητῶν codd. 2 ἤνασσε libri

104 ἐπίκουρος Goettling, ἐπίουρος Peppmüller Ἀθηνάων Hermann, Ἀθηναίων lib.

105 'Aegimio' adscripserit Sittl ἔρος Baumeister, ἔρως codd.

106 κεκλῆσθαι — ἀπὸ Harpocration, ὀνομασθεὶς ἀπὸ Suidas Photius

τὸν δῆμον Φιλόχορος ἐν γ′ ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος, κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος

107 (132)] Strabo IX p. 393 *Κυχρείδης ὄφις, ὅν φησιν Ἡσίοδος τραφέντα ὑπὸ Κυχρέως ἐξελαθῆναι ὑπὸ Εὐρυλόχου λυμαινόμενον τὴν νῆσον, ὑποδέξασθαι δὲ αὐτὸν τὴν Δήμητρα εἰς Ἐλευσῖνα καὶ γενέσθαι ταύτης ἀμφίπολον. ὠνομάσθη δὲ καὶ Πιτυοῦσσα ἀπὸ τοῦ φυτοῦ*

108 (133)] Apollonius Rhod. in Argumento Scuti *A* 7 *Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ τρίτῳ φησὶν αὐτοῦ (Ἡσιόδου τὴν Ἀσπίδα) εἶναι ἔκ τε τοῦ χαρακτῆρος καὶ ἐκ τοῦ πάλιν τὸν Ἰόλαον ἐν τῷ Καταλόγῳ εὑρίσκειν ἡνιοχοῦντα Ἡρακλεῖ*

109 (134)] Schol. Pind. Ol. VII 42 *Ἀστυδαμείας*] *Ὅμηρος ταύτην Ἀστυόχην φησίν, οὐκ Ἀστυδάμειαν . . . καὶ Ἡσίοδος δὲ Ἀστυδάμειαν αὐτήν φησι, Φερεκύδης δὲ Ἀστυγένειαν· ἦν δὲ Φύλαντος θυγάτηρ. τινὲς δὲ ἐξ Ἀντιγόνης αὐτῷ Τληπόλεμόν φασιν. ἐνταῦθα δὲ Ἀμύντορος αὐτήν φησιν ὁ Πίνδαρος· Ἡσίοδος δὲ καὶ Σιμωνίδης Ὀρμενοῦ*

110 (135)] *Ἡ δ' ὑποκυσαμένη καλλίζωνος Στρατονίκη*
Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν·
τοῦ δ' υἱεῖς ἐγένοντο Διδαίων τε Κλυτίος τε
Τοξεύς τ' ἀντίθεος ἰδὲ Ἴφιτος, ὄζος Ἄρηος·

---

106 *Μύρμηκος* Harpocration, *θυγατρὸς Μύρμηκος* Suidas Photius

109 *Ὀρμένου* Bergk

110, 3 *ἐγένοντο* cod. Lobkowitzianus, *γένοντο* cod. Laur. *Διδαίων* restituendum videtur, ΔΙΔΑΙϜΟΝ inscriptio amphorae Corinthiae (Mon. d. Inst. VI 33) cf. Kretschmer d. gr. Vaseninschr. 47 sq. et quae dixi Wien. St. XXI 215; ΙΔΗΉΩΝ cod. Laur. m[1] (Ι erasum et Ή in Ι′ mut.); *Μολίων* (e Diodor. IV 37) Hermann *τε* ante *Κλυτίος* addidit Triclinius 4 *ἰδὲ* Flach, *ἠδ'* schol. Soph. ϜΙΦΙΤΟΣ amphora

τοὺς δὲ μέθ' ὁπλοτάτην τέκετο ξανθὴν Ἰόλειαν
Ἀντιόπη κρείουσα παλαιοῦ Ναυβολίδαο

Schol. Laur. Soph. Trach. 266 *διαφωνεῖται δὲ ὁ τῶν Εὐρυτιδῶν ἀριθμός. Ἡσίοδος μὲν γὰρ δ' φησὶν ἐξ Εὐρύτου καὶ Ἀντιόπης παῖδας οὕτως 'ἣ — Ναυβολίδαο'*

111] *Ἣ τέκεν Αὐτόλυκόν τε Φιλάμμονά τε κλυτὸν αὐδήν*

Herodianus (Theodosius) *περὶ κλίσ. τῶν εἰς ῶν βαρυτόν.* (Excerpta ex libris Herodiani techn. p. 21, 2 H.) *Φιλάμμων Φιλάμμονος ὡς παρ' Ἡσιόδῳ· 'ἣ — αὐδήν'*

112 (136)] *Ὅττι κε χερσὶ λάβεσκεν, ἀείδελα πάντα τίθεσκεν*

Et. mag. v. *ἀείδελον· ἐπὶ δὲ τοῦ ἀοράτου ἐχρήσατο τῇ λέξει Ἡσίοδος περὶ τοῦ Αὐτολύκου. φησὶ γὰρ 'ὅττι — τίθεσκεν'. καὶ γὰρ ὁ αὐτός, κλέπτης ὤν, ἔκλεπτε τοὺς ἵππους καὶ ἀλλοιοφανεῖς αὐτοὺς ἀπετέλει· ἐνήλλασσε δὲ τὰς χροιὰς αὐτῶν*

cf. Et. in Anecd. Par. IV 95, 22 Cr.

Tzetzes in Lycophr. 344 *οὗτος ὁ Αὐτόλυκος κλεπτοσύνῃ πάντας ὑπερέβαλε· κλέπτων γὰρ πάντων ἵππους τε καὶ βόας καὶ ποίμνια, τὰς σφραγῖδας αὐτῶν μετεποίει καὶ ἐλάνθανε τοὺς δεσπότας αὐτῶν, ὥς φησι καὶ Ἡσίοδος· 'πάντα — τίθεσκε'*

112b] Philodemus *περὶ εὐσεβ.* p. 49 G. . . *μετ⟩αμορφωθ⟨ῆναι⟩ δὲ πολ⟨λοὺς⟩ α⟨ὐτῶν π⟩αντελῶς. (κ)α⟨ὶ ὁ Ποσ⟩ειδῶν λέγετ⟨αί τισι τ⟩ῶν ἀνθρώπ⟨ων φύσι⟩ν περιθεῖν⟨αι⟩ ṭο⟨ι⟩αύτην, ⟨καθάπερ⟩ Περικλυμέν⟨ῳ⟩ κ⟨αὶ Μ⟩ήστρα· τούτων τὴν μὲν ἱστόρη⟨κ⟩ε Ἡσ⟨ί⟩οδος διχ . . κασθῆṿαι χάρ⟨ιν τοῦ δι⟩ατρέφεσθα⟨ι*

110, 6 *Ἀντιόπη* Bentley, *Ἀντιόχη* schol. Soph. *παλαιοῦ* Hermann, *παλαιὸν γένος* cod. Laur., *Πύλωνος* ex Hygini fab. 14 Bentley *Ἀντιόπης* Bentley, *Ἀντιόχης* schol.
112 *⟨πάντα⟩ γὰρ ὅσσα* Tzetzes *ἀίδηλα* Tzetzae codd.
112b restituit Wilamowitz

113 (138)] *Αἴπυτος αὖ τέκετο Τλησήνορα Πειρίθοόν τε*

Apollonius Lex. Hom. v. *Αἰπύτιον τὸν τοῦ Αἰπύτου· . . . . ἔστι δὲ οὗτος τῶν Ἀρκαδικῶν ἡρώων, περὶ οὗ φησιν Ἡσίοδος ʿΑἴπυτος — Πειρίθοόν τεʾ*

114 (139)] Et. mag. v. *Βροτός· ὡς μὲν Εὐήμερος ὁ Μεσσήνιος, ἀπὸ Βρότου τινὸς αὐτόχθονος· ὁ δὲ Ἡσίοδος ἀπὸ Βροτοῦ τοῦ Αἰθέρος καὶ Ἡμέρας*

115 (141)] *Ἦ τοι γὰρ Λοκρὸς Λελέγων ἡγήσατο λαῶν,*
τούς ῥά ποτε Κρονίδης Ζεὺς ἄφθιτα μήδεα εἰδὼς
λεκτοὺς ἐκ γαίης ἀλέας πόρε Δευκαλίωνι

1—3 Strabo VII p. 322 *μάλιστα δ' ἄν τις Ἡσιόδῳ πιστεύσειεν οὕτως περὶ αὐτῶν εἰπόντι· ʿἦ τοι — Δευκαλίωνιʾ. τῇ γὰρ ἐτυμολογίᾳ τὸ συλλέκτους γεγονέναι τινὰς ἐκ παλαιοῦ καὶ μιγάδας αἰνίττεσθαί μοι δοκεῖ καὶ διὰ τοῦτο ἐκλελοιπέναι τὸ γένος*

2 sq. Et. Gud. ap. Reitzenstein Gesch. d. gr. Etym. 164, 28 (cf. Et. Angel. Ritschl Op. I 689) *Σελεύκου· λαοί· ὁ μὲν Ἡσίοδος· ʿτούς — Λευκαρίωνιʾ*

3 Epim. in Anecd. Ox. I 264, 27 Cr. (de *λαός* voce): *Ἡσίοδος δὲ παρὰ τὸ ʿἀλέςʾ τὸ σημαῖνον τὸ ἀθροῦν, ἀλαός, λαός ἀφαιρέσει τοῦ ᾱ, ὡς καὶ παρὰ Ἀριστοφάνει ʿσφοδελὸν ἐν χύτραισι μεγάλαις ἑψόμενονʾ*

116 (142)] *Ἰλέα, τόν ῥ' ἐφίλησε ἄναξ Διὸς υἱὸς Ἀπόλλων·*

---

114 huic fragmento in pleniore Theogoniae forma locum assignabat Isler

115, 3 *λεκτοὺς* om. Et. Gudiani codd. abc *ἀλέας* Villebrun, *ἀλέους* codd. Strabonis pars, *λαοὺς* Et. Gud. et Angel., *λᾶας* Heyne, *ἀλαοὺς* Ludwich *Δευκαλίωνι* Strabo Et. Gudiani cod. v Et. Angel. (*δευκαλιον*); *λευκανίωνι* Et. Gudiani codd. abcz, *λευκανίονι* eiusdem cod. Paris. 2631, unde *Λευκαρίωνι* Reitzenstein Hesiodo reddiderit; oblocutus est Usener

καί οἱ τοῦτ᾽ ὀνόμην᾽ ὄνομ᾽ ἔμμεναι, οὕνεκα νύμφην
εὑρόμενος ἴλεων μείχθη ἐρατῇ φιλότητι
ἤματι τῷ, ὅτε τεῖχος ἐυδμήτοιο πόληος
ὑψηλὸν ποίησε Ποσειδάων καὶ Ἀπόλλων

1—5 Et. gen. et Gud. (cf. Reitzenstein Gesch. d. gr. Etym. 161, 4), v. Et. mag. v. *Ἰλεύς* et Angel. 135 (Ritschl Op. I 687) *Σελεύκου· Ἰλεύς· ὁ Αἴαντος πατήρ· ἐτυμολογεῖται ὑφ᾽ Ἡσιόδου· ‛Ἰλέα — Ἀπόλλων᾽. ταῦτα παρατίθεται ἐν δ΄ Σιμωνίδου*

Tzetzes Schol. in Exeg. Iliad. 126, 26 H. *φησὶ γὰρ ὁ ἀνὴρ (Ἡσίοδος) ἐν τῇ ἡρωικῇ γενεαλογίᾳ ταυτί· ‛Ἰλέα — Ἀπόλλων᾽*

1—3 Eustathius Hom. 650, 46 *Ἡσίοδος . . . καὶ ὅπου δὲ τὸν παρὰ τοῖς ἄλλοις Ὀιλέα τετρασυλλάβως καλούμενον Ἰλέα τρισυλλάβως αὐτὸν λέγειν ἐθέλων φησὶν οὕτως αὐτὸν κληθῆναι ‛οὕνεκα — φιλότητι᾽*

1 de *Ἰλέα* forma cf. Schol. Ven. A (Herodiani) Hom. *A* 264 Schol. Townl. Hom. *O* 336 (Ven. A Hom. *N* 203) Schol. Ven. B Hom. *B* 527 Schol. Pind. Ol. IX 167 Eustathius Hom. 101, 19; 1018, 59; 277, 2 Tzetzes Exeg. Iliad. p. 4, 9 H.

4 sq. Aristides XXVII 18 (II 130, 3 K.) *εἰ δὲ ἔτυχον περιόντες Ὅμηρος καὶ Ἡσίοδος, ῥᾳδίως ἄν μοι δοκοῦσιν εἰπεῖν τὸ περὶ τοῦ τείχους τοῦ Τρωικοῦ μυθολόγημα μεταθέντες, ὡς ἄρα Ποσειδῶν καὶ Ἀπόλλων κοινῇ φιλοτεχνήσαντες ἀπειργάσαντο τὸ ἔργον τῇ πόλει . . .*

Tzetzes in Lycophr. 393 *καὶ Ἡσίοδος ἐν τῇ ἡρωικῇ γενεαλογίᾳ· ‛ἤματι — Ἀπόλλων᾽ μυθικῶς*

---

116 2—5 om. Et. gen. cod. B 2 *οἱ*] *μιν* schol. Exeg. Il. Tzetzae, *ἵν* (*ἶν*) Leutsch *ὀνόμην᾽* om. Et. gen. cod. A 3 *εὑρόμενος* Fischer, *εὑράμενος* testes *ἵλεον* Nauckium secutus Sittl *μίγη* Tzetzae schol., *μίχθη* libri cett. *ἐρανῇ* Tzetzae schol. 4 sq. om. Et. mag. 4 *ἐυδμήτοιο* — 5 *Ἀπόλλων* et *ταῦτα* — *Σιμωνίδου* desunt in Et. gen. cod. A

117 (143)] *Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέεν οὐδὲ κατέκλα,*
ἀλλ' ἐπὶ πυραμίνων ἀθέρων δρομάασκε πόδεσσι
καὶ οὐ σινέσκετο καρπόν

1—3 Eustathius Hom. 323, 44 *ἐνταῦθα δὲ ζητητέον, ποῖος ἦν ὁ ποδωκέστατος κατὰ τὴν ἱστορίαν Ἴφικλος, περὶ οὗ δηλῶν Ἡσίοδος, ὅτι ταχυτῆτι διήνεγκεν, οὐκ ὤκνησεν ἐπ' αὐτοῦ ταύτην εἰπεῖν τὴν ὑπερβολήν 'ἄκρον — καρπόν'*
Schol. Harl. Ambr. Hom. *λ* 326 *Κλυμένη Μινύου τοῦ Ποσειδῶνος καὶ Εὐρυανάσσης τῆς Ὑπέρφαντος γαμηθεῖσα Φυλάκῳ τῷ Δηίονος Ἴφικλον τίκτει ποδώκη παῖδα. τοῦτον λέγεται διὰ τὴν τῶν ποδῶν ἀρετὴν συναμιλλᾶσθαι τοῖς ἀνέμοις ἐπί τε τῶν ἀσταχύων διέρχεσθαι, καὶ διὰ τοῦ τάχους τὴν κουφότητα μὴ περικλᾶν τοὺς ἀθέρας. . . . ἡ δὲ ἱστορία παρ' Ἡσιόδῳ* cf. Eustathius Hom. 1689, 2
Schol. Laur. Apoll. Rhod. Arg. *Α* 45 *τὸν δὲ Ἴφικλον Ἡσίοδος ἐπὶ πυρίνους ἀθέρας τρέχειν φησίν* cf. Eustathius Hom. 1206, 7
2 Schol. Townl. et Ven. B Hom. *Υ* 227 *ἀνθερίκων*] . . *οἱ δὲ τοὺς ἀθέρας τοῦ σίτου φασίν, ὡς καὶ Ἡσίοδος ἐκλαβὼν ἐπὶ Ἰφίκλου φησίν 'ὅς ῥ' ἐπὶ — φοίτασκε πόδεσσιν'*

118 (144)] *Ἡ δὲ Θόαν τέκεν υἱόν*

Choeroboscus schol. in Theodos. I 123, 22 H. *ἔτι δεῖ παραφυλάξασθαί τινα παρὰ τοῖς ποιηταῖς πάντα ἔχοντα τοῦ κανόνος καὶ ἰσοσυλλάβως κλιθέντα, οἷον ὁ Βίας τοῦ Βία, ὁ Δρύας τοῦ Δρύα, ὁ Θόας τοῦ Θόα, ὡς παρ' Ἡσιόδῳ 'ἣ δὲ — υἱόν'* . .

117, 1 *καρπῶν* Eustathius 2 *ἀλλ'*] *ὅς ῥ'* schol. Townl. Hom., om. schol. Ven. B *πυραμίνους ἀθέρας φοίτασκε* schol. Hom. Townl. et Ven. B 3 verba in principio versus collocavit Ruhnken *καὶ οὐ* retinens, cf. Theog. 447 Fr. 194, 2; *κοὐ* O. Rossbach; *καὶ οὐ — καρπόν* Eustathius, quibus verbis in altero hemistichio sedem assignavit Heinsius (. . . . . *καὶ οὐ σίνεσκετο καρπόν*)

119 (146)] Schol. Theocrit. XVI 49 *Ἡσίοδος δέ φησιν αὐτὸν (τὸν Κύκνον) τὴν κεφαλὴν ἔχειν λευκήν· διὸ καὶ ταύτης τῆς κλήσεως (θῆλυς) ἔτυχεν*

120 (145)] Schol. Harl. Ambr. Hom. ι 198 *ταῦτα σημειοῦνταί τινες πρὸς τὸ μὴ παραδιδόναι Ὅμηρον Διόνυσον οἴνου εὑρετήν, τὸν δὲ Μάρωνα οὐ Διονύσου, ἀλλ' Ἀπόλλωνος ἱερέα .. ἡ δ' ἀπότασις πρὸς Ἡσίοδον λέγοντα τὸν Μάρωνα εἶναι Οἰνοπίωνος τοῦ Διονύσου*

Eustathius Hom. 1623, 44 aliter *τὸν δὲ Μάρωνα, οὗ καὶ δοκεῖ παρώνυμος εἶναι ἡ κατὰ Θράκην Μαρώνεια, και ἱερῷ ἐτίμησαν οἱ ἐγχώριοι. οὗ τὸν πατέρα Εὐάνθην Ἡσίοδος Οἰνοπίωνός, φασιν, ἱστορεῖ υἱοῦ Διονύσου*

121 (157)] *Οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος.*
ὅς τις ἄδην πίνῃ, οἶνος δέ οἱ ἔπλετο μάργος,
σὺν δὲ πόδας χεῖράς τε δέει γλῶσσάν τε νόον τε
δεσμοῖς ἀφράστοισι· φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος

Athenaeus X 428 b. c *διὸ καὶ Ἡσίοδος ἐν ταῖς Ἠοίαις εἶπεν 'οἷα — ὕπνος'*

122 (147)] *Ἢ οἵη Διδύμους ἱεροὺς ναίουσα κολωνοὺς*
Δωτίῳ ἐν πεδίῳ πολυβότρυος ἄντ' Ἀμύροιο
νίψατο Βοιβιάδος λίμνης πόδα παρθένος ἀδμής

1—3 Strabo IX p. 442 *τοῦτο (τὸ Δώτιον πεδίον) δ' ἐστὶ πλησίον τῆς ἄρτι λεχθείσης Περραιβίας καὶ τῆς Ὄσσης*

---

120 *Μάρωνα εἶναι*] ⟨*Εὐάνθους τοῦ*⟩ addit Sittl *φασιν*] *φασιν ἱερὸν* Eustathius, *ἱερὸν* delevit Sittl; *ἱερέα* (om. *φασίν*) Marckscheffel

121, 1 *ἄχθος* e Scut. 400 Ruhnken, *ἔχθος* codd. AC 2 *ὅς τ' ἀνέδην* Peppmüller *οἴνοιό τε* O. Schneider, *οἴνοιο δέ τ'* Peppmüller *μάργον*? Peppmüller 4 an *ἀφράστοις· φιλέει*?

122 de hoc et proximis fragmentis cf. Wilamowitz Isyll. 57 sq. 1 *ὄχθους ναίουσα Κορωνὶς* Meineke 2 *αὐταμύροιο* Stephani cod. 3 *χρόα* Koechly *διδύμοις* in Strabonis verbis Kirchhoff, *ἰδίοις* libri

καὶ ἔτι τῆς Βοιβηίδος λίμνης, ἐν μέσῃ μέν πως τῇ Θετταλίᾳ, λόφοις δὲ διδύμοις περικλειόμενον, περὶ οὗ Ἡσίοδος οὕτως εἴρηκεν ʽ*ἢ — ἀδμής*ʼ

idem XIV p. 647 *δοκοῦσι δʼ εἶναι Μάγνητες Δελφῶν ἀπόγονοι τῶν ἐποικησάντων τὰ Δίδυμα ὄρη ἐν Θετταλίᾳ, περὶ ὧν φησιν Ἡσίοδος* ʽ*ἢ — ἀδμής*ʼ

cf. Schol. Pind. Pyth. III 59

2 Stephanus Byz. v. *Ἄμυρος· πόλις Θεσσαλίας· ἄδηλον δὲ τὸ Ἡσιόδειον* ʽ*Δωτίῳ — Ἀμύροιο*ʼ

123 (148)] *Τῷ μὲν ἄρʼ ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτὸς*
Πυθὼ ἐς ἠγαθέην, φράσσεν δʼ ἄρα ἔργʼ ἀίδηλα
Φοίβῳ ἀκερσεκόμῃ, ὅτι Ἴσχυς ἔγημε Κόρωνιν
Εἰλατίδης, Φλεγύαο διογνήτοιο θύγατρα

Schol. Pind. Pyth. III 48 *ἱστορεῖται γάρ, ὅτι τὴν Ἴσχυος μῖξιν ἐδήλωσεν αὐτῷ* (Apollini) *ὁ κόραξ· παρὸ καὶ δυσχεράναντα ἐπὶ τῇ ἀγγελίᾳ τὸν Ἀπόλλωνα ἀντὶ λευκοῦ μέλανα αὐτὸν ποιῆσαι . . . τὸν δὲ περὶ τὸν κόρακα μῦθόν φησι* (*Ἀρτέμων*) *καὶ Ἡσίοδον μνημονεύοντα λέγειν οὕτω* ʽ*τῷ — θύγατρα*ʼ

Schol. Pind. Pyth. III 14 *ἐν δὲ τοῖς εἰς Ἡσίοδον ἀναφερομένοις ἔπεσι φέρεται ταῦτα περὶ τῆς Κορωνίδος·* ʽ*τῷ μὲν ἄρʼ ἦλθε κόραξ*ʼ . . . ʽ*φράσσεν — θύγατρα*ʼ

124 (108)] Schol. Pind. Pyth. IV 181 *ὁ δὲ Ἡσίοδος Ναΐδα φησὶ τὸν Χίρωνα γῆμαι*

123, 2 *Πυθόʼ* Nauck *καί ῥʼ ἔφρασεν* schol. Pind. Pyth. III 48 3 *ὅτι Ἴσχυς* Marckscheffel; *ὅτʼ ἴσχυς* Paris. 2774 schol. ad v. 14, *ὅττʼ ἴσχυς* Vat. B schol. ad v. 48; *ὅτʼ ἄρʼ* codd. cett. *γῆμε* schol. ad v. 48, Vindob. gr. 130 scholii ad v. 14 *κορώνην* (ι supra) Vat. B, *κορωνίν* Vindob.

125 (109)] *Πατὴρ δ' ἀνδρῶν τε θεῶν τε χώσατ', ἀπ' Οὐλύμπου δὲ βαλὼν ψολόεντι κεραυνῷ ἔκτανε Λητοΐδην, Φοίβῳ σὺν θυμὸν ὀρίνων*

Athenagoras lib. pro Christ. 29 *περὶ δὲ Ἀσκληπιοῦ Ἡσίοδος μὲν 'πατὴρ — ὀρίνων'*

Philodemus *περὶ εὐσεβ.* 17 G. *τὸν Ἀσκλ⟨ηπιὸν δ' ὑ⟩πὸ Διὸς κε⟨ραυνω⟩θῆναι γέγρ⟨αφεν Ἡ⟩σίοδος . . .*

126 (110)] Philodemus *περὶ εὐσεβ.* 34 G. *Ἄν⟩δρων δ' ἐ⟨ν τοῖς⟩ Συγγενικοῖς Ἀ⟨δμή⟩τῳ λέγει τὸν Ἀ⟨πόλ⟩λω θητεῦσαι Δ⟨ιὸς⟩ ἐπιτάξαντος· ⟨Ἡ⟩σίοδος δὲ καὶ Ἀκο⟨υσ⟩ίλαος μέλλειν ⟨μὲν⟩ εἰς τὸν Τάρταρον ⟨ὑ⟩πὸ τοῦ Διὸς ἐ⟨μβλη⟩θῆναι, τῆς Λ⟨ητοῦς δ'⟩ ἱκετευσά⟨σης ἀν⟩δρὶ θητ⟨εῦσαι*

127 (112)] Schol. Eurip. Alc. 1 *ἡ διὰ στόματος καὶ δημώδης ἱστορία περὶ τῆς Ἀπόλλωνος θητείας παρ' Ἀδμήτῳ αὕτη ἐστίν, ᾗ κέχρηται νῦν Εὐριπίδης. οὕτως δέ φησι καὶ Ἡσίοδος καὶ Ἀσκληπιάδης ἐν Τραγῳδουμένοις*

128 (149)] *Ἣ οἵη Φθίῃ Χαρίτων ἄπο κάλλος ἔχουσα Πηνειοῦ παρ' ὕδωρ καλὴ ναίεσκε Κυρήνη*

Schol. Pind. Pyth. IX 6 *ἀπὸ δὲ Ἠοίας Ἡσιόδου τὴν ἱστορίαν ἔλαβεν ὁ Πίνδαρος, ἧς ἡ ἀρχή· 'ἢ — Κυρήνη'*

129 (150)] Servius in Vergil. Georg. I 14 *Aristaeum invocat id est Apollinis et Cyrenes filium, quem Hesiodus dicit Apollinem pastoralem*

125, 1 *δ'* addidit Marckscheffel 3 *Φοίβῳ σὺν* Wilamowitz, *φίλον σὺν* cod. A, *ὀλοὸν σὺν* Koechly, *φίλον υἱέι?* olim conieci; *Λητοΐδην ἔκτεινε, φίλον σὺν?* Goettling ed.[1]; *ἔκτανε Λητοΐδαο φίλον σὺν* Kiesel, *ἔκτανε Λητοΐδεω φίλον υἱὸν* Goettling ed.[2]
126 CYΝΓЄΝΙΚΟΙC pap. ΙΚЄΤЄΟΥCΑ⟨*σης* pap.
128, 1 *ἠοίη φθίη* codd.

cf. Schol. Bern. p. 845 H. Anonym. brev. expos. in Vergil. Georg. v. III 2, 203 Th.-H.

130 (151)] Schol. Bern. Vergil. Georg. IV 361 '*at illum | curvata in montis faciem circumstetit unda*'. *hunc versum ex Hesiodi gynecon transtulit*

131 (158)] Philodemus *περὶ εὐσεβ.* 60 G. ⟨*Στησίχορ*⟩*ος*? *'Ακταίωνι καὶ* ⟨*'Αλκμά*⟩*ν, καὶ καθάπερ* . . . *ἐν 'Ηοία*⟨*ις* . .

132 (153)] *"Η οἵην 'Υρίη Βοιωτίη ἔτρεφε κούρην*

Schol. Ven. A Hom. *B* 496 *οἵ θ' 'Υρίην*] *οὐ παρέλαβον σύνδεσμον τὸν τέ, ἀλλ' ὄντως παρέλαβον Θυρίαν τὴν πόλιν, οὐκ εὖ δέ. ἀπὸ γὰρ 'Υριέως καὶ ἡ 'Υρία οὕτως ὀφείλει ἔχειν τὸν τοῦ* $\bar{υ}$ *φθόγγον. μαρτυρεῖ καὶ 'Ησίοδος λέγων 'ἢ — κούρην'*

Et. gen. v. *'Υρίην· καὶ 'Ησίοδος 'Οὐρίη — κούρη'*

Eustathius Hom. 265, 4 *οἱ δ' αὐτοὶ παράγουσι καὶ χρῆσιν 'Ησιόδου ταύτην βοηθοῦσαν τῇ δίχα τοῦ θ γραφῇ* (i. e. *θ' 'Υρίην*)*· 'ἣν δίη — κούρην'*

Stephanus Byz. v. *'Υρία· 'Ησίοδος δ' ἐν 'Υρίᾳ τὴν 'Αντιόπην φησὶ γενέσθαι*

133 (60)] Palaephatus c. 42 *περὶ Ζήθου καὶ 'Αμφίονος· ἱστοροῦσιν ἄλλοι τε καὶ 'Ησίοδος, ὅτι κιθάρᾳ τὸ τεῖχος τῶν Θηβῶν ἐτείχισαν*

134 (156)] *"Εστι τις 'Ελλοπίη πολυλήιος ἠδ' ἐυλείμων,*

---

130 ad Hom. *λ* 243 pertinere censet Sittl

131 in Ehoeis Actaeonis mentionem esse factam patet

132 *ἢ δίη* cod. Ven. A schol. Hom., corr. Heyne; om. Et. gen.; *ἣν δίη* Eustathius *Οὐρίη* (Boeotorum pronuntiatio?) Et. gen. *Βοιωτίη ἔτρεφε* Bekker, *βοιωτίη τράφε* Et. gen., *βοιωτίης τρέφε* schol. cod. Ven. A Eustathius *κούρη* Et. gen.

134, 1 *ἐλλοπίη* schol. Laur. *εὐλείμων* cod. Laur.

ἀφνειή μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν·
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται
πολλοὶ ἀπειρέσιοι, φῦλα θνητῶν ἀνθρώπων·
ἔνθα δὲ Δωδώνη τις ἐπ' ἐσχατιῇ πεπόλισται·
τὴν δὲ Ζεὺς ἐφίλησε καὶ ὃν χρηστήριον εἶναι
τίμιον ἀνθρώποις . . . . .
. . . . . ναῖον δ' ἐν πυθμένι φηγοῦ·
ἔνθεν ἐπιχθόνιοι μαντήια πάντα φέρονται,
ὃς δὴ κεῖθι μολὼν θεὸν ἄμβροτον ἐξερεείνῃ
δῶρα φέρων τ' ἔλθῃσι σὺν οἰωνοῖς ἀγαθοῖσιν

1—11 Schol. Soph. Trach. 1167 ἔνιοι δὲ χωρὶς τοῦ σ̄ γράφουσι (τὸ Σελλῶν) Ἑλλοὺς ἀποδεχόμενοι καὶ Ἑλλοπίαν τὴν Δωδώνην νομίζουσιν εἶναι· τὴν γὰρ χώραν οὕτως Ἡσίοδος ὀνομάζει ἐν Ἠοίαις λέγων οὕτως 'ἔστι — ἀγαθοῖσιν'

1. 5 Strabo VII p. 328 Φιλόχορος δέ φησι καὶ τὸν περὶ Δωδώνην τόπον, ὥς περ τὴν Εὔβοιαν, Ἑλλοπίαν κληθῆναι· καὶ γὰρ Ἡσίοδον οὕτω λέγειν· 'ἔστι — ἐυλείμων'. 'ἔνθα δὲ — πεπόλισται'

135 (166) pagella adversa

* * *

ὃ̣ς̣ μ̣ι̣ν̣? .
ἔγχεϊ μάρνασθ̣α̣⟨ι

134, 4 ἀπειρέσια? Sittl; post hanc vocem versum intercidisse existimavit Schneidewin 6 δὴ Brunck ἐφίλησε καὶ ὃν scholiorum cod. Lobkowitzianus, φίλησε καὶ ὃν cod. Laur., ἐθέλησεν ἑὸν Ruhnken 7 post ἀνθρώποις lacunam subesse ratus est F. S. Lehrs, post v. 6 Hermann 8 **ναῖον** i. e. columbae Dodonaeae; Ruhnkenii coniectura (ἐθέλησεν ἑὸν) recepta **ναῖον** participium esse arbitratur Goettling; **ναῖεν** (Iuppiter) Valckenaer, **ναίει** C. Schenkl, **ναίων** (si quid exciderit) Sittl 11 τ' addidit Papageorgius ἔλθῃσι cod. Lobkowitz., ἔλθῃ cod. Laur., ἔλθῃ δὲ Hermann

135, 1 exigua litterarum vestigia: Ọ̣C̣ṂỊṆ? Crönert

πλήν γ' ⟨Ἡ⟩ρακλῆ⟨ος
αυτẹọịạṭ Ἄρηι φ
ξανθοκόμηṣ
τοῦ καὶ ἀποφθ̣
γοργω̣δ̣υ̣ψηλ̣
θ̣ηρο̣
οὔτε τις ἐν πολẹ́⟨μ̣⟩ω̣ ⟨οὔτ' αἰνῇ δηιοτῆτι
ἔτλη ἐς ἄντα ἰδ̣⟨ὼν σχεδὸν ἐλθέμεν οὐδὲ μάχεσθαι
ἀνδρῶν ἡρώων, ὁπότ̣'
ἀλλ' ὑπ' Ἀπόλλωνος χẹρ̣⟨σὶν βέλεσίν τ' ἐδαμάσθη
μαρνάμενος Κού⟨ρησιν ὑπὲρ Καλυδῶνος ἐραννῆς.
τοὺς δ' ἄλλους Οἰνῆ⟨ι τέκεν, Πορθάονος υἱῷ,
Φηρέα θ' Ἱππόδαμ⟨ον Ἀγέλαόν τ' ἔξοχον ἄλλων
Τοξέα τε Κλύμεν⟨όν τε καὶ ἀντίθεον Περίφαντα
Γόργην τ' ἠύκομον ⟨καὶ ἐπίφρονα Δηιάνειραν,
ἣ τέχ' ὑποδμηθεῖ̣⟨σα βίῃ Ἡρακληείῃ
Ὕλλον καὶ Γλῆνον καὶ̣ ⟨Κτήσιππον καὶ Ὀδίτην·
τοὺς τέκε καὶ δειν
ὁπ⟨πότ⟩ẹ φαρμακο
λῶπ̣⟨ος⟩ κη
μω . .
δ . .

* * *

135, 3 ΠΛΗΓ' (i. e. πλήγ γ') F cf. Scut. 74 4 αὐτῷ ἶσος? Schmidt 6 ἀποφθ⟨ιμένοιο Wilamowitz, ἀπ' ὀφθ⟨αλμῶν ἀπελάμπετο θεσπιδαὲς πῦρ⟩ | γοργῶν Robert 9 πολέμ⟨ῳ οὔτ' αἰνῇ δηιοτῆτι Wilamowitz (ex Hom. *Γ* 20) 10 ἰ⟨δὼν — μάχεσθαι e Scut. 432 Böhm 11 ⟨ἐν προμάχοισι φανείη Wilamowitz 12 χερ⟨σὶν idem; βέλεσίν τ' supplevi, ἐδαμάσθη Wilamowitz 13 Κού⟨ρησιν — ἐραννῆς ex Hom. *I* 531 sq. idem 14—19: clausulas rest. idem 20 δεινή⟨ν οἱ ἐνὶ φρεσὶ μήσατο βουλήν? Crönert 22 λῶπ̣⟨ος Wilamowitz κη⟨ῶεν? Crönert 23 μῶ⟨λυ? idem

pagella aversa (magnopere detrita)

μ̣ων̣ . . .
αναβη̣δ̣ . . χ . .
ο̣π̣ην ς
μ̣ι̣ηδ
εν̣ . α
κάρηνα
ἀλ>λ̣' Ἀ̣φροδίτης
κ̣η̣θ̣μον̣ . . α
αλιας ἵκοντο
κειουσαι?
μητέρ>α κεδνήν
ρείησιν
αὐτὰ>ρ Ὀ̣δ<ίτ>εω?
σ̣ην̣
ε̣α κόσμον
Φ>οῖβος Ἀπόλλων
ον̣ι̣ . . . ν
νακ . . τ .

* * *

Papyrus musei Berolinensis 9777 saec. fere IV (= F) ed. Schubart et Wilamowitz Berl. Klassikertexte V 1, 22

12 sq. Pausanias X 31, 3 *ἐς δὲ τοῦ Μελεάγρου τὴν τελευτὴν Ὁμήρῳ μέν ἐστιν εἰρημένα, ὡς ἡ Ἐρινὺς καταρῶν ἀκούσαι τῶν Ἀλθαίας καὶ ἀποθάνοι κατὰ ταύτην καὶ ὁ Μελέαγρος τὴν αἰτίαν. αἱ δὲ Ἠοῖαί τε καλούμεναι καὶ ἡ Μινυὰς ὡμολογήκασιν ἀλλήλαις· Ἀπόλλωνα γὰρ δὴ αὗταί φα-*

135, 27 *τ>ὸ πῆνος* Crönert 31 *ἀλ>λ̣' Ἀ̣φροδίτης* idem, *αὐτὰρ Ὀδίτης?* Wilamowitz 33 *ἐξ Οἰχ>αλίας* ? Crönert 35 *μητέρ>α* Wilamowitz 36 *πολυιδρείησιν* ex Hom. *B* 346 confert idem 37 *αὐτὰ>ρ Ὀ̣<δί>τεω* idem 39 *περικαλλ>έ̣α* Crönert 42 *ἄκ<οι>τ<ι* Wilamowitz

σιν αἱ ποιήσεις ἀμῦναι Κούρησιν ἐπὶ τοὺς Αἰτωλούς, καὶ ἀποθανεῖν Μελέαγρον ὑπὸ Ἀπόλλωνος

136 (175)] Argumentum Scuti *A* 1 τῆς Ἀσπίδος ἡ ἀρχὴ ἐν τῷ τετάρτῳ Καταλόγῳ φέρεται μέχρι στίχων ν' καὶ ς'

ΜΕΓΑΛΑΙ ΗΟΙΑΙ

137 (162)] Pausanias II 26, 3 Ἐπίδαυρος δὲ ἀφ' οὗ τὸ ὄνομα τῇ γῇ ἐτέθη, ὡς μέν φασιν Ἠλεῖοι, Πέλοπος ἦν· κατὰ δὲ Ἀργείων δόξαν καὶ τὰ ἔπη τὰς μεγάλας Ἠοίας ἦν Ἐπιδαύρῳ πατὴρ Ἄργος ὁ Διός

138 (159)] Ὦ τέκος, ἦ μάλα δή σε πονηρότατον καὶ ἄριστον
Ζεὺς τέκνωσε πατήρ

Anonymus comm. in Aristot. Eth. Nicom. III 7 (p. 155, 4 H.) καὶ ὅτι, φασί, τὸ πονηρὸς ἐπὶ τοῦ ἐπιπόνου τάττεται καὶ δυστυχοῦς, ἱκανὸς Ἡσίοδος παραστῆσαι ἐν ταῖς μεγάλαις Ἠοίαις τὴν Ἀλκμήνην ποιῶν πρὸς τὸν Ἡρακλέα λέγουσαν· 'ὦ — πατήρ'

139 (160)] Μοῖραί σε πονηρότατον καὶ ἄριστον

Anonymus comm. in Aristot. Eth. Nicom. III 7 (p. 155, 7 H.) καὶ πάλιν αἱ 'Μοῖραι — ἄριστον'

140 (173)] Schol. Pind. Isthm. VI 53 οὐ γὰρ ὁ Τελαμὼν ἐκέλευσε τῷ Ἡρακλεῖ ἐμβῆναι τῷ δέρματι καὶ εὔξασθαι, ἀλλ' αὐτὸς ὁ Ἡρακλῆς τοῦτο κατ' ἰδίαν ἔπραξε προαίρεσιν. εἴληπται δὲ ἐκ τῶν μεγάλων Ἠοιῶν ἡ ἱστορία· ἐκεῖ γὰρ εὑρίσκεται ἐπιξενούμενος ὁ Ἡρακλῆς τῷ Τελαμῶνι καὶ ἐμβαίνων

138, 1 τέκος Voss, τέκνον codd. 2 ἐτέκνωσε codd., corr. Voss

140 † καὶ οὕτως] καὶ οὗτος Boeckh; quibus verbis omissis lacunae signum posuit Kinkel

τῇ δορᾷ καὶ εὐχόμενος † καὶ οὕτως ὁ διόπομπος αἰετός, ἀφ᾽ οὗ τὴν προσωνυμίαν ἔλαβεν Αἴας

141 (161)] Pausanias IV 2, 1 *πυθέσθαι δὲ σπουδῇ πάνυ ἐθελήσας οἵ τινες παῖδες Πολυκάονι ἐγένοντο ἐκ Μεσσήνης, ἐπελεξάμην τάς τε Ἠοίας καλουμένας καὶ τὰ ἔπη τὰ Ναυπάκτια, πρὸς δὲ αὐτοῖς ὁπόσα Κιναίθων καὶ Ἄσιος ἐγενεαλόγησαν. οὐ μὴν ἔς γε ταῦτα ἦν σφίσιν οὐδὲν πεποιημένον, ἀλλὰ Ὕλλου μὲν τοῦ Ἡρακλέους θυγατρὶ Εὐαίχμῃ συνοικῆσαι Πολυκάονα υἱὸν Βούτου λεγούσας τὰς μεγάλας οἶδα Ἠοίας, τὰ δὲ ἐς τὸν Μεσσήνης ἄνδρα καὶ τὰ ἐς αὐτὴν Μεσσήνην παρεῖταί σφισιν*

142 (154)] *Φύλας δ᾽ ὤπυιεν κούρην κλειτοῦ Ἰολάου*
Λειπεφίλην· ἣ εἶδος Ὀλυμπιάδεσσιν ὁμοίη
Ἱπποτάδην τέ οἱ υἱὸν ἐνὶ μεγάροισιν ἔτικτε
Θηρώ τ᾽ εὐειδέα, ἰκέλην φαέεσσι σελήνης.
Θηρὼ δ᾽ Ἀπόλλωνος ἐν ἀγκοίνῃσι πεσοῦσα
γείνατο Χαίρωνος κρατερὸν μένος ἱπποδάμοιο

Pausanias IX 40, 5 sq. (3) *τὸ δὲ νῦν τοῖς Χαιρωνεῦσιν ὄνομα γεγονέναι (λέγουσιν) ἀπὸ Χαίρωνος, ὃν Ἀπόλλωνός φασιν εἶναι, μητέρα δὲ αὐτοῦ Θηρὼ τὴν Φύλαντος εἶναι. μαρτυρεῖ δὲ καὶ ὁ τὰ ἔπη τὰς μεγάλας Ἠοίας ποιήσας* ‘**Φύλας** — *ἱπποδάμοιο*’

143 (152)] *Ἢ οἵη Ὑρίη πυκινόφρων Μηκιονίκη,*
ἣ τέκεν Εὔφημον γαιηόχῳ Ἐννοσιγαίῳ
μειχθεῖσ᾽ ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης

142, 2 *λειπεφιλήνη* cod. Mosquensis, *λεῖπε φιλήνη* cod. Paris. 1411, *λεῖπε φιληνὴ* Paris. 1410, *λείπε φιλήνην* Paris. 1399 *ἣ δ᾽* Koechly 3 *Ἱπποτάδην* Siebelis; *ἱππότη* cod. Mosquensis, *Ἱππότην* Facius, *Ἱππόθοον* Koechly, *Ἵππωτον*? olim conieci *τέ* Koechly, *δέ* codd. 4 *εὐειδέα* scripsi, *εὐειδῆ* libri
143, 1 *ὑρίη* Vat. B, *ὑρέη* Paris. 2403 3 *μιχθεῖσ᾽* libri

Schol. Pind. Pyth. IV 35 *ὁ δὲ Ἀσκληπιάδης τὰ ἐν ταῖς μεγάλαις Ἠοίαις παρατίθεται ‛ἢ — Ἀφροδίτης’*

144 (155)] *Ὕηττος δὲ Μόλουρον Ἀρίσβαντος φίλον υἱὸν*
κτείνας ἐν μεγάροις εὐνῆς ἕνεχ’ ἧς ἀλόχοιο
οἶκον ἀποπρολιπὼν φεῦγ’ Ἄργεος ἱπποβότοιο,
ἷξεν δ’ Ὀρχομενὸν Μινυήιον· καί μιν ὅ γ’ ἥρως
δέξατο καὶ κτεάνων μοῖραν πόρεν, ὡς ἐπιεικές

Pausanias IX 36, 6 sq. (4) *Ὑήττου δὲ ἐποιήσατο μνήμην καὶ ὁ τὰ ἔπη συνθείς, ἃς μεγάλας Ἠοίας καλοῦσιν Ἕλληνες· ‛Ὕηττος — ἐπιεικές’*

145 (164)] Pausanias II 2, 3 *Κορινθίοις δὲ τοῖς ἐπινείοις τὰ ὀνόματα Λέχης καὶ Κεγχρίας ἔδοσαν, Ποσειδῶνος εἶναι καὶ Πειρήνης τῆς Ἀχελῴου λεγόμενοι· πεποίηται δὲ ἐν Ἠοίαις μεγάλαις Οἰβάλου θυγατέρα εἶναι Πειρήνην*

146 (163)] Pausanias II 16, 4 *ταύτην* (*Μυκήνην*) *εἶναι θυγατέρα Ἰνάχου, γυναῖκα δὲ Ἀρέστορος τὰ ἔπη λέγει, ἃ δὴ Ἕλληνες καλοῦσιν Ἠοίας μεγάλας· ἀπὸ ταύτης οὖν γεγονέναι καὶ τὸ ὄνομα τῇ πόλει φασίν*

147 (165)] Pausanias VI 21, 10 sq. *ἀπέθανον δὲ ὑπὸ τοῦ Οἰνομάου κατὰ τὰ ἔπη τὰς μεγάλας Ἠοίας Ἀλκάθους ὁ Πορθάονος, δεύτερος οὗτος ἐπὶ τῷ Μάρμακι, μετὰ δὲ Ἀλκάθουν Εὐρύαλος καὶ Εὐρύμαχός τε καὶ Κρόταλος. τούτων μὲν οὖν γονέας τε καὶ πατρίδας οὐχ οἷά τε ἦν πυθέσθαι μοι· τὸν δὲ ἀποθανόντα ἐπ’ αὐτοῖς Ἀκρίαν τεκμαίροιτο ἄν τις Λακεδαιμόνιόν τε εἶναι καὶ οἰκιστὴν Ἀκριῶν. ἐπὶ δὲ τῷ Ἀκρίᾳ Κάπετόν φασιν ὑπὸ τοῦ Οἰνομάου φονευθῆναι καὶ Λυ-*

144, 1 *Μόλουρον* Schubart, *Μόλυρον* codd. 4 *ἷξε δ’ ἐς* Koechly *Μινυήιον* cf. ad Theog. 340 *ὅς δέ μιν ἥρως* Koechly
147 de numero procorum Hippodamiae cf. Luebbert de Pind. stud. Hes. et Hom. diss. 8; ‛*Πελάγοντα καὶ Αἰόλιον Κρόνιόν τε*’ versiculum restituebat Sittl

κοῦργον Λάσιόν τε καὶ Χαλκώδοντα καὶ Τρικόλωνον . . . Τρικολώνου δὲ ὕστερον ἐπέλαβεν ἐν τῷ δρόμῳ τὸ χρεὼν Ἀριστόμαχόν τε καὶ Πρίαντα, ἔτι δὲ Πελάγοντα καὶ Αἰόλιόν τε καὶ Κρόνιον

Schol. Pind. Ol. I 127 *οἱ ἀναιρεθέντες οὗτοί εἰσι· Μέρμνης, Ἱππόθοος, Πέλοψ ὁ Ὀπούντιος, Ἀκαρνάν, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τρικόρωνος, Ἀλκάθους ὁ Πορθάονος, Ἀριστόμαχος, Κρόκαλος· τούτῳ τῷ ἀριθμῷ τῶν ἀπολομένων μνηστήρων καὶ Ἡσίοδος καὶ Ἐπιμενίδης μαρτυρεῖ*

148 (167)] Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 57 *ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις λέγεται τὸν Ἐνδυμίωνα ἀνενεχθῆναι ὑπὸ τοῦ Διὸς εἰς οὐρανόν. ἐρασθέντα δὲ Ἥρας εἰδώλῳ παραλογισθῆναι [τὸν ἔρωτα] νεφέλης καὶ ἐκβληθέντα κατελθεῖν εἰς Ἅιδου*

149 (168)] Schol. Laur. Apoll. Rhod. Arg. *Α* 118 *ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις λέγεται ὡς ἄρα Μελάμπους φίλτατος ὢν τῷ Ἀπόλλωνι ἀποδημήσας κατέλυσε παρὰ Πολυφάντῃ. βοὸς δὲ αὐτῷ τεθυμένου δράκοντος ἀνερπύσαντος παρὰ τὸ θῦμα διαφθεῖραι αὐτὸν τοὺς θεράποντας τοῦ βασιλέως. τοῦ δὲ βασιλέως χαλεπήναντος* * * * * * *τὸν Μελάμποδα λαβεῖν καὶ θάψαι. τὰ δὲ τούτου ἔγγονα τραφέντα ὑπὸ τούτου λείχειν τὰ ὦτα καὶ ἐμπνεῦσαι αὐτῷ τὴν μαντικήν. διόπερ κλέπτοντα αὐτὸν τὰς βόας τοῦ Ἰφίκλου εἰς Αἴγιναν τὴν πόλιν περιληφθέντα δεθῆναι καὶ τοῦ οἴκου μέλλοντος πεσεῖν, ἐν ᾧ ἦν ὁ Ἴφικλος, τῇ διακόνων πρεσβύτιδι μηνῦσαι τοῦ Ἰφίκλου καὶ τούτου χάριν ἀφεθῆναι*

150 (172)] Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 828 *ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις Φόρβαντος καὶ Ἑκάτης ἡ Σκύλλα*

---

148 [*τὸν ἔρωτα*] seclusit Keil

149 lacunam indicavit Kinkel, cf. schol. Paris. '*χαλεπήνας δὲ ὁ βασιλεὺς ἀποκτείνει τὸν δράκοντα· ἀναιρεθεὶς δὲ ἐτάφη ὑπὸ Μελάμποδος*' *Αἴγιναν*] *Ἐχῖνον*? Keil

151 (170)] Schol. Laur. Apoll. Rhod. Arg. *B* 181 *πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, ὅτι Φρίξῳ τὴν ὁδὸν ἐμήνυσεν . . .*

152 (171)] Schol. Laur. Apoll. Rhod. Arg. *B* 1122 *Ἄργος] εἷς τῶν Φρίξου παίδων οὗτος. τούτους δὲ Ἡρόδωρός φησιν ἐκ Χαλκιόπης τῆς Αἰήτου θυγατρός, Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος ἐν ταῖς μεγάλαις Ἠοίαις φασὶν ἐξ Ἰοφώσσης τῆς Αἰήτου. καὶ οὗτος μέν φησιν αὐτοὺς τέσσαρας, Ἄργον Φρόντιν Μέλανα Κυτίσωρον, Ἐπιμενίδης δὲ πέμπτον προστίθησι Πρέσβωνα*

153 (176)] Antoninus Liber. XXIII *Βάττος· ἱστορεῖ Νίκανδρος Ἑτεροιουμένων α΄ καὶ Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις καὶ Διδύμαρχος Μεταμορφώσεων γ΄ καὶ Ἀντίγονος ἐν ταῖς Ἀλλοιώσεσι καὶ Ἀπολλώνιος ὁ Ῥόδιος ἐν Ἐπιγράμμασιν, ὥς φησι Πάμφιλος ἐν α΄.*

Ἄργου τοῦ Φρίξου καὶ Περιμήλης τῆς Ἀδμήτου θυγατρὸς ἐγένετο Μάγνης. οὗτος ᾤκησεν ἐγγὺς Θεσσαλίας καὶ τὴν γῆν ταύτην ἀπ᾿ αὐτοῦ Μαγνησίαν προσηγόρευσαν οἱ ἄνθρωποι. ἐγένετο δ᾿ αὐτῷ παῖς περίβλεπτος τὴν ὄψιν Ὑμέναιος. ἐπεὶ δὲ Ἀπόλλωνα ἰδόντα ἔρως ἔλαβε τοῦ παιδὸς καὶ οὐκ ἐξελίμπανε τὰ οἰκία τοῦ Μάγνητος, Ἑρμῆς ἐπιβουλεύει τῇ ἀγέλῃ τῶν βοῶν τοῦ Ἀπόλλωνος. αἱ δὲ ἐνέμοντο, ἵνα περ ἦσαν αἱ Ἀδμήτου βόες. καὶ πρῶτα μὲν ἐμβάλλει ταῖς κυσίν, αἳ ἐφύλαττον αὐτάς, λήθαργον καὶ κυνάγχην· αἱ δὲ ἐξελάθοντο τῶν βοῶν καὶ τὴν ὑλακὴν ἀπώλεσαν· εἶτα δ᾿ ἀπελαύνει πόρτιας δώδεκα καὶ ἑκατὸν βοῦς ἄζυγας καὶ ταῦρον, ὃς ταῖς βουσὶν ἐπέβαινεν. ἐξῆπτε δὲ ἐκ τῆς οὐρᾶς πρὸς ἕκαστον ὕλην, ὡς ἂν τὰ ἴχνη τῶν βοῶν ἀφανίσῃ· καὶ ἦγεν

---

151 cf. Fragm. 52 *μεγάλαις*] *μὲν ταῖς* Usener
152 versum Hopfner sic restituebat: '*Ἄργος τε Φρόντις τε Μέλας θ᾿ ἅμα καὶ Κυτίσωρος*'
153 *Ἐπιγράμμασιν*] *ἔπεσιν* Sakolowski

αὐτὰς ἐλαύνων διά τε Πελασγῶν καὶ δι' Ἀχαΐας τῆς Φθιώτιδος καὶ διὰ Λοκρίδος καὶ Βοιωτίας καὶ Μεγαρίδος καὶ ἐντεῦθεν εἰς Πελοπόννησον διὰ Κορίνθου καὶ Λαρίσσης ἄχρι Τεγέας. καὶ ἐντεῦθεν παρὰ τὸ Λύκαιον ὄρος ἐπορεύετο καὶ παρὰ τὸ Μαινάλιον καὶ τὰς λεγομένας Βάττου σκοπιάς. ᾤκει δὲ ὁ Βάττος οὗτος ἐπ' ἄκρῳ τῳ σκοπέλῳ καὶ ἐπεὶ τῆς φωνῆς ἤκουσε παρελαυνομένων τῶν μόσχων, προελθὼν ἐκ τῶν οἰκείων ἔγνω περὶ τῶν βοῶν ὅτι κλοπιμαίας ἄγει· καὶ μισθὸν ᾔτησεν, ἵνα πρὸς μηδένα φράσῃ περὶ αὐτῶν. Ἑρμῆς δὲ δώσειν ἐπὶ τούτοις ὑπέσχετο καὶ ὁ Βάττος ὤμοσε περὶ τῶν βοῶν πρὸς μηδένα κατερεῖν. ἐπεὶ δὲ αὐτὰς Ἑρμῆς ἔκρυψεν ἐν τῷ πρηῶνι παρὰ τὸ Κορυφάσιον εἰς τὸ σπήλαιον εἰσελάσας ἄντικρυς Ἰταλίας καὶ Σικελίας, αὖθις ἀφίκετο πρὸς τὸν Βάττον ἀλλάξας ἑαυτὸν καὶ πειρώμενος, εἰ αὐτῷ συμμένειν ἐπὶ τοῖς ὁρκίοις ἐθέλει. διδοὺς δὲ μισθὸν χλαῖναν ἐπυνθάνετο παρ' αὐτοῦ, εἰ μὴ κλοπιμαίας βοῦς ἔγνω παρελαθείσας. ὁ δὲ Βάττος ἔλαβε τὴν χλαμύδα καὶ ἐμήνυσε περὶ τῶν βοῶν. Ἑρμῆς δὲ χαλεπήνας, ὅτι διχόμυθος ἦν, ἐρράπισεν αὐτὸν τῇ ῥάβδῳ καὶ μετέβαλεν εἰς πέτρον. καὶ αὐτὸν οὐκ ἐκλείπει κρύος οὐδὲ καῦμα· λέγεται δὲ καὶ ὁ τόπος παρ' ὁδευόντων ἄχρι νῦν σκοπιαὶ Βάττου

ΚΗΥΚΟΣ ΓΑΜΟΣ

154 (178)] Schol. Laur. Apoll. Rhod. Arg. *Α* 1289 *Ἡρόδωρος δέ φησι μὴ συμπεπλευκέναι (τοῖς Ἀργοναύταις) αὐτόν (τὸν Ἡρακλέα) τε καί τινας ἄλλους. Ἡσίοδος ἐν τῷ Κήυκος γάμῳ ἐκβάντα φησὶν αὐτὸν ἐφ' ὕδατος ζήτησιν τῆς Μαγνησίας περὶ τὰς ἀπὸ τῆς ἀφέσεως αὐτοῦ Ἀφετὰς καλουμένας ἀπολειφθῆναι*

---

153 *ὑλακὴν* Jacobs, *φυλακὴν* cod. P *τῳ* O. Schneider, *τῷ* cod. *παρ' ὁδευόντων* Bast, *παροδευόντων* cod., ⟨*ὑπὸ τῶν*⟩ *παροδευόντων* Oder *σκοπιαὶ* O. Schneider, *σκοπιὰ* cod.
154 *περὶ* Keil, *παρὰ* cod. Laur.

155] *Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴενται*

Zenobius II 19 *οὕτως Ἡσίοδος ἐχρήσατο τῇ παροιμίᾳ, ὡς Ἡρακλέους ἐπιφοιτήσαντος ἐπὶ τὴν οἰκίαν Κήυκος τοῦ Τραχινίου καὶ οὕτως εἰπόντος 'αὐτόματοι — ἴενται'* cf. idem II 46

156 (179)] *Ἰδὼν δ' ἱππηλάτα Κῆυξ*

Schol. Ven. A Hom. Ξ 119 *ὁ δὲ ἱππότης ἄρα οὐ φυγάς, ἀλλ' ἱππικός. καὶ ὁ Ἡσίοδος δὲ οὕτως ἀκήκοεν· 'ἰδὼν — Κῆυξ' ἀντὶ τοῦ ἱππικός*

157 (177)] Athenaeus II p. 49 b *ὅτι Ἡσίοδος ἐν Κήυκος γάμῳ — κἂν γὰρ γραμματικῶν παῖδες ἀποξενῶσι τοῦ ποιητοῦ τὰ ἔπη ταῦτα, ἀλλ' ἐμοὶ δοκεῖ ἀρχαῖα εἶναι — τρίποδας τὰς τραπέζας φησί*

Pollux VI 83 *ἦσαν δέ τινες πρῶται τράπεζαι καὶ δεύτεραι καὶ τρίται καὶ τρίποδες μέν, ἐφ' ὧν ἔκειντο, καὶ ἔστι τοὔνομα παρ' Ἡσιόδῳ καὶ ἐν Τελμησσεῦσιν Ἀριστοφάνους*

158 (180)] *Αὐτὰρ ἐπεὶ δαιτὸς μὲν ἐίσης ἐξ ἔρον ἕντο,*
μητέρα μητρὸς ἄγοντο
αὐαλέην τε καὶ ὀπταλέην σφετέροισι τέκεσσι
τεθνάμεναι

---

155 cf. Crusius Anal. ad Paroem. 52 sq. *Ἡσίοδος* Schneidewin, *Ἡράκλειτος* Zenobius, *ὁ Βακχυλίδης* cod. Athous 15 (utrumque testimonium in archetypo scriptum fuisse arbitratur Crusius) *ἴενται*] *ἴασιν* Zenobius II 46

156 *Κῆυξ* Bekker, *κῆρυξ* cod.

158 cf. Bergk PLGr.[4] III 667 sq. Op. II 746, 59; 752, 3 Nauck MGrR. III 272 IV 391 1 *δαιτὸς μὲν ἐίσης* Bergk, *δ' αὐτοὶ μὲν κνίσσης* libri, *δαιτὸς μενοεικέος* Nauck 2 *μητρὸς* suspectum 3 *ἀζαλέην* cod. Bar. *τε* addidit Bergk *σφετέροισι τέκεσσι* dedi, *ἐφ' ἑτέροισι* (fuit olim ϹΦЄΤЄΡΟΙϹΙ) *τεκέεσσι* (*τέκεσι* Bar.) libri; *ἐπὶ σφετέροισι τέκεσσι* Nauck, *ἐπὶ σφετέροις τεκέεσσι* Bergk, quorum uterque verba in fine versus proximi collocabat 4 *τεθνάμεναι* Bergk, *τεθνάναι* libri

Plutarchus Mor. 730 f *καθάπερ οὖν τὸ πῦρ τὴν ὕλην ἐξ ἧς ἀνήφθη, μητέρα καὶ πατέρ' οὖσαν, ἤσθιεν, ὡς ὁ τὸν Κήυκος γάμον εἰς τὰ Ἡσιόδου παρεμβαλὼν εἴρηκεν*

Incert. auctor *περὶ τρόπων* Rhet. gr. VIII 776 W. (III 224 Sp.) *αἴνιγμά ἐστι φράσις διάνοιαν ἀποκεκρυμμένην καὶ σύνθετον πειρωμένη ποιεῖν, ὡς τὰ παρ' Ἡσιόδῳ περὶ τῆς κύλικος λεγόμενα 'μηδέ ποτ' — ὕπερθε'* (Op. 744), *'αὐτὰρ ἔντο' καὶ αὖ 'μητέρα — ὀπταλέην', ἐπεὶ δοκεῖ πρῶτα μὲν ξηραίνεσθαι, εἶτα ὀπτᾶσθαι· 'σφετέροισι τέκεσσι', τοῖς ἑαυτῆς τέκνοις, λέγει δὲ τοῖς ξύλοις· τὸ δὲ τεθνάναι, καθὸ δοκεῖ ἐκ τῆς ὕλης ἐκκεκόφθαι*

159 (181)] Iulianus or. ad Heracl. Cyn. (VII) p. 234 d *οὐκ οἶσθα, ὅτι καὶ ὁ Σαλμωνεὺς ἔδωκεν ὑπὲρ τούτων τοῖς θεοῖς δίκην, ὅτι ἄνθρωπος ὢν ἐπεχείρει Ζεὺς εἶναι; τὸ δὲ ἐκ τῶν Ἡσιόδου λεγόμενον ὑπὲρ τῶν ὀνομασάντων ἑαυτοὺς τοῖς τῶν θεῶν ὀνόμασιν, Ἥρας τε καὶ Διός, εἰ μήπω καὶ νῦν ἀκήκοας, ἔχω σοι συγγνῶναι*

de Ceyce et Alcyona, Salmonei sorore, agitur cf. Schol. Ven. A Hom. *I* 562 v. Apollodorus I 7, 4, 1

ΜΕΛΑΜΠΟΔΕΙΑ

160 (188)] *Θαῦμά μ' ἔχει κατὰ θυμόν, ἐρινεὸς ὅσσον ὀλύνθων*
οὗτος ἔχει μικρός περ ἐών· εἴποις ἂν ἀριθμόν;

* * *

μύριοί εἰσιν ἀριθμόν, ἀτὰρ μέτρον γε μέδιμνος·

---

158 *περὶ* editor Cantabrig. ap. Walzium, *παρὰ* codd. *καὶ αὖ* Klouček, *καὶ* (*οἷον* Par.) *οὐ* codd. *ἑαυτῆς* Klouček, *ἑαυτοῦ* libri *ξύλοις* editor Cantabrig., *ξένοις* codd. *ἐκκεκόφθαι* Bar., *ἐκκόφθαι* unus e Paris., *εἰλῆφθαι* volgo

159 ad 'Ceycis nuptias', Catalogi partem, rettulit Wilamowitz

160, 1 *ὅσσον ὀλύνθων* Xylander, *ὅσους ὀλύνθους* libri 2 *σμικρός* Sittl post 2 quaedam omissa sunt

εἷς δὲ περισσεύει, τὸν ἐπενθέμεν οὔ κε δύναιο.
ὣς φάτο· καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου·
καὶ τότε δὴ Κάλχαντα τέλος θανάτοιο κάλυψεν

Strabo XIV p. 642 *λέγεται δὲ ὁ Κάλχας ὁ μάντις μετ' Ἀμφιλόχου τοῦ Ἀμφιαράου κατὰ τὴν ἐκ Τροίας ἐπάνοδον πεζῇ δεῦρο ἀφικέσθαι, περιτυχὼν δ' ἑαυτοῦ κρείττονι μάντει κατὰ τὴν Κλάρον, Μόψῳ τῷ Μαντοῦς τῆς Τειρεσίου θυγατρός, διὰ λύπην ἀποθανεῖν. Ἡσίοδος μὲν οὖν οὕτω πως διασκευάζει τὸν μῦθον· προτεῖναι γάρ τι τοιοῦτο τῷ Μόψῳ τὸν Κάλχαντα ‛θαῦμα — ἀριθμόν;' τὸν δ' ἀποκρίνασθαι ‛μύριοι — κάλυψεν'*

cf. Apollodorus Epit. (Fragm. Sabb.) 6, 3 (p. 214, 13 W.)

161 (189)] *Ζεῦ πάτερ, εἴθε μοι ἧσσον' ἔχειν αἰῶνα βίοιο*
ὤφελλες δοῦναι καὶ ἴσα ⟨φρεσὶ⟩ μήδεα ἴδμεν
θνητοῖς ἀνθρώποις· νῦν δ' οὐδέ με τυτθὸν ἔτισας,
ὃς μακρόν γέ μ' ἔθηκας ἔχειν αἰῶνα βίοιο
ἑπτά τ' ἐπὶ ζώειν γενεὰς μερόπων ἀνθρώπων

Tzetzes in Lycophr. 682 *πέμπελον] τὸν ὑπέργηρων . . νῦν δὲ τὸν Τειρεσίαν λέγει, ἐπειδή φασιν αὐτὸν ἑπτὰ γενεὰς ζῆσαι· ἄλλοι δὲ ἐννέα· ἀπὸ γὰρ Κάδμου ἦν καὶ κατωτέρω Ἐτεοκλέους καὶ Πολυνείκους, ὥς φησι καὶ ὁ τῆς Μελαμπο-*

160, 4 *ἐπενθέμεν* Spohn, *ἐπελθέμεν* libri *οὔ κε δύναιο* Voss, *οὐκ* (*ἐδύναιο* Paris.) *ἐδύναο* libri post 5 aliquid intercidisse suspicatur Immisch (cf. Apollod. l. c.) 6 *Κάλχαντα τέλος* Nauck, *Κάλχανθ' ὕπνος* Strabonis libri, *Κάλχαντα νέφος* Meineke

161, 1 *εἴθε μοι ἧσσον' ἔχειν* Boissonade, *εἴθ' ἧσσω μοι ἔχειν* Hermann, *εἴθε μοι εἴθ' ἧσσω μ'* (*γ'* Voss) Tzetzes utroque loco; *εἴθ' ἧσσω μὲν ἐμοί γ'* Bothe (idem *γ'* omisso Gerhard) 2 *ὤφελλες* cf. Op. 174; *ὤφελες* Vit. 2. 3; *ὤφειλες* Tryllitzsch ⟨*φρεσὶ*⟩ vir doctus in Gerhardi Lect. Apoll. 161 4 *ὃς — γέ μ'* O. Rossbach, *ὅς γε μακρόν μ'* vel *ὅς με μακρόν γε* libri Tzetzae in Lycophr., ..*μ⟩ακρόν γε* eiusdem schol. Exeg., *ὅς γέ με μακρὸν* Boissonade 5 *τ'* Kinkel, *μ'* Tzetzae libri (utroque l.), *δ'* Goettling *ἐπὶ* Hermann, *ἔτι* codd. Vit. 2. 3 Tzetzae in Lycophr. et schol. Exeg.

δίας ποιητής· παρεισάγει γὰρ τὸν Τειρεσίαν λέγοντα 'Ζεὺς — ἀνθρώπων'

cf. Tzetzes Schol. Exeg. Iliad. 149, 1 H.

162 (190)] *Οἴην μὲν μοῖραν δέκα μοιρέων τέρπεται ἀνήρ,*
τὰς δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα

altera Tiresiae responsi recensio: (*γυνὴ*)

ἐννέα μὲν μοίρας, δεκάτην δέ τε τέρπεται ἀνήρ

Schol. Ambros. Hom. *κ* 494 *φασὶν ὡς δράκοντας δύο ἐν Κιθαιρῶνι μιγνυμένους ἰδὼν (Τειρεσίας) ἀνεῖλε τὴν θήλειαν καὶ οὕτως μεταβέβληται εἰς γυναῖκα, καὶ πάλιν τὸν ἄρρενα καὶ ἀπέλαβε τὴν ἰδίαν φύσιν. τοῦτον Ζεὺς καὶ Ἥρα κριτὴν εἵλοντο, τίς μᾶλλον ἥδεται τῇ συνουσίᾳ, τὸ ἄρρεν ἢ τὸ θῆλυ· ὁ δὲ εἶπεν· 'οἴην — νόημα'. διόπερ ἡ μὲν Ἥρα ὀργισθεῖσα ἐπήρωσεν, ὁ δὲ Ζεὺς τὴν μαντείαν δωρεῖται*

cf. Tzetzes in Lycophr. 683

Schol. Marc. Lycophr. 683 *λέγεται τὸν Δία τῇ Ἥρᾳ ἐρίσαι, φάσκοντα τὰς θηλείας μᾶλλον ἤπερ τοὺς ἄνδρας ἥδεσθαι τῇ [πολλῇ] συνουσίᾳ, καὶ χρήσασθαι τῷ Τειρεσίᾳ κριτῇ διὰ τὰς δύο αὐτοῦ μορφάς· τὸν δὲ εἰρηκέναι δέκα οὐσῶν τῶν πασῶν ἡδονῶν μίαν μὲν ἔχειν τοὺς ἄρρενας, τὰς δὲ λοιπὰς ἐννέα τὰς γυναῖκας, ὡς ὁ τῆς Μελαμποδίας ποιητής·*

---

162 Tiresiae responsi recensio prior extat in schol. Ambros. Hom. Tzetza (supposita in Apollodoro), alteram habent Apollodorus Phlegon Schol. Marc. Lycophr., utramque novisse videtur Eustathius

rec. I 1 *μοίρην* Apollodori codd. l. supposito *μοιρέων* Meineke, *μοιρῶν* testes 2 *τὰς δέκα δ'* schol. Hom. Tzetzes, *τὰς δὲ δέκ'* Apollodori codd. *νοήματα* Apollodori codd. Tzetzae cod. Vit. 3

rec. II *μοῖραν* in schol. Marc. Lycophr. additum delevit C. Schenkl

Schol. Marc. Lycophr.: [*πολλῇ*] Klouček *ὡς ὁ — νόημα*] quae verba volgo scholion claudunt, transposuit C. Schenkl

'ἐννέα μὲν μοίρας· δεκάτην δέ τε τέρπεται ἀνήρ'. ['τὰς δέκα — νόημα']. ὀργισθεῖσα δὲ ἡ Ἥρα ἐτύφλωσεν αὐτόν· ὁ δὲ Ζεὺς ἐχαρίσατο αὐτῷ μαντικὴν καὶ πολυχρόνιον ζωήν

Apollodorus III 6, 7, 4 (p. 127, 13 W.) 'Ἡσίοδος δέ φησιν ὅτι θεασάμενος (Τειρεσίας) περὶ Κυλλήνην ὄφεις συνουσιάζοντας καὶ τούτους τρώσας ἐγένετο ἐξ ἀνδρὸς γυνή, πάλιν δὲ τοὺς αὐτοὺς ὄφεις παρατηρήσας συνουσιάζοντας ἐγένετο ἀνήρ. διόπερ Ἥρα καὶ Ζεὺς ἀμφισβητοῦντες πότερον τὰς γυναῖκας ἢ τοὺς ἄνδρας ἥδεσθαι μᾶλλον ἐν ταῖς συνουσίαις συμβαίνοι, τοῦτον ἀνέκριναν. ὁ δὲ ἔφη δέκα μοιρῶν περὶ τὰς συνουσίας οὐσῶν τὴν μὲν μίαν ἄνδρας ἥδεσθαι, τὰς δὲ ἐννέα γυναῖκας. ὅθεν Ἥρα μὲν αὐτὸν ἐτύφλωσε, Ζεὺς δὲ τὴν μαντικὴν αὐτῷ ἔδωκεν. [τὸ ὑπὸ Τειρεσίου λεχθὲν πρὸς Δία καὶ Ἥραν· 'οἴην — νόημα']

cf. Phlegon Mirab. c. IV p. 73 sq. K. Eustathius Hom. 1665, 42

163 (191)] Ἡδὺ . . . ἐστ' ἐν δαιτὶ καὶ εἰλαπίνῃ τεθαλυίῃ
τέρπεσθαι μύθοισιν, ἐπὴν δαιτὸς κορέσωνται

Athenaeus II p. 40 f 'ἡδὺ — κορέσωνται' Ἡσίοδος ἐν τῇ Μελαμποδίᾳ φησίν

164 (192)] Ἡδὺ δὲ καὶ τὸ πυθέσθαι, ὅσα θνητοῖσιν ἔνειμαν
ἀθάνατοι, δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές

---

162 ['τὰς — νόημα'] ex altera recensione irrepsit Apollodorus: ἀνέκριναν Heyne, ἀνέκρινον libri δέκα . . . τὴν μὲν μίαν . . . τὰς δὲ ἐννέα Barth, δεκαεννέα . . . τὰς μὲν ἐννέα . . . τὰς δὲ δέκα codd. [τὸ ὑπὸ — νόημα'] uncis inclusit Faber

163 cum sequenti fragmento cohaesisse arbitratus est Buttmann 1 ἡδὺ . . . ἐστ' Kaibel, ἡδὺ ἐστιν codd. CE; ἡδὺ μέν ἐστ' Peppmüller; ἥδιστον δ' Meineke fragm. 163 post 164 collocans 2 μύθοισιν Musurus, μύθοις CE

164, 1 τὰ O. Schneider πυθέσθαι Sylburg, πείθεσθαι cod. (L) ἔνειμαν O. Schneider, ἔδειμαν Clemens, ἔδειξαν Goettling

Clemens Strom. VI 2, 26 *Ἡσίοδός τε ἐπὶ τοῦ Μελάμποδος ποιεῖ 'ἡδὺ — ἐναργές' καὶ τὰ ἑξῆς παρὰ Μουσαίου λαβὼν τοῦ ποιητοῦ κατὰ λέξιν*

165 (193)] *Τῷ δὲ Μάρης θοὸς ἄγγελος ἦλθε δι' οἴκου,*
πλήσας δ' ἀργύρεον σκύπφον φέρε, δῶκε δ' ἄνακτι

1 sq. Athenaeus XI p. 498 a. b *Ἡσίοδος δ' ἐν τῷ δευτέρῳ Μελαμποδίας σὺν τῷ π̄ σκύπφον λέγει 'τῷ — ἄνακτι'*
2 cf. Eustathius Hom. 900, 17 et 1775, 18

166 (194)] *Καὶ τότε Μάντης μὲν δεσμὸν βοὸς αἴνυτο χερσίν,*
Ἴφικλος δ' ἐπὶ νῶτ' ἐπεμαίετο. τῷ δ' ἐπ' ὄπισθεν
σκύπφον ἔχων ἑτέρῃ, ἑτέρῃ δὲ σκῆπτρον ἀείρας
ἔστειχεν Φύλακος καὶ ἐνὶ δμώεσσιν ἔειπεν

Athenaeus XI p. 498 b *καὶ πάλιν 'καὶ τότε — ἔειπεν'*

167 (195)] Athenaeus XIII p. 609 e *Ἡσίοδος δ' ἐν τρίτῳ Μελαμποδίας τὴν ἐν Εὐβοίᾳ Χαλκίδα καλλιγύναικα εἶπεν*
cf. Eustathius Hom. 875, 52

168 (196)] Strabo XIV p. 676 *Ἡσίοδος δ' ἐν Σόλοις ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι τὸν Ἀμφίλοχόν φησιν*

169 (197)] *Μάντις δ' οὔ νύ τις ἐστιν ἐπιχθονίων ἀνθρώπων,*
ὅς τις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο

Clemens Strom. V 14, 129 *ἀλλὰ καὶ Ἡσίοδος δι' ὧν γράφει συνᾴδει τοῖς προειρημένοις 'μάντις — αἰγιόχοιο'*
cf. Eusebius Praep. ev. XIII 13, 57

165, 1 *τόδ' εμαρης* Athenaei cod. A *Μάρις* Wilamowitz
166, 1 *Μάντης*] *Μάντιος* filius Melampodis Hom. o 244 *βοὸς* Hemsterhuis, *βιος* A 2 *τὸ δ'* A, corr. Musurus 3 *σκῆπτρον δ' ἑτέρηφιν* Nauck
169, 1 *οὔ νύ τις* scripsi, *οὐδείς* Clemens

ΧΙΡΩΝΟΣ ΥΠΟΘΗΚΑΙ

170 (182)] *Εὖ νῦν μοι τὰ ἕκαστα μετὰ φρεσὶ πευκαλίμῃσι*
φράζεσθαι· πρῶτον μέν, ὅτ' ἂν δόμον εἰσαφίκηαι,
ἐρδέμεν ἱερὰ καλὰ θεοῖς αἰειγενέτῃσιν

Schol. Pind. Pyth. VI 19 *τὰς δὲ Χίρωνος Ὑποθήκας Ἡσιόδῳ ἀνατιθέασιν, ὧν ἡ ἀρχή 'εὖ — αἰειγενέτῃσιν'*

171 (183)] *Ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη*
ἀνδρῶν γηράντων· ἔλαφος δέ τε τετρακόρωνος·
τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται· αὐτὰρ ὁ φοῖνιξ
ἐννέα μὲν κόρακας, δέκα φοίνικας δέ τοι ἡμεῖς
Νύμφαι ἐυπλόκαμοι, κοῦραι Διὸς αἰγιόχοιο

1—5 Plutarchus Mor. p. 415 c *ὁ δ' Ἡσίοδος οἴεται καὶ περιόδοις τισὶ χρόνων γίγνεσθαι τοῖς δαίμοσι τὰς τελευτάς· λέγει γὰρ ἐν τῷ τῆς Ναΐδος προσώπῳ καὶ τὸν χρόνον αἰνιττόμενος 'ἐννέα — αἰγιόχοιο'*

1—5 Ausonius Ed. XVIII de aet. anim. Hesiod. 1 sqq.
ter binos deciesque novem super exit in annos
iusta senescentum quos implet vita virorum.
hos novies superat vivendo garrula cornix

170, 1 *τοι* Vat. B *τὰ* Buttmann, *τάδ'* libri 2 *δόμον εἰσαφίκηαι* Marckscheffel, *εἰς σὸν δόμον ἀφίκηαι* cod. Paris. 2403, *εἰς σὸν δόμον εἰσαφίκηαι* cod. Gotting 3 *ἐρδέμεν* scripsi, *ἕρδειν* vel *ἔρδειν* libri

171 ad Chironis praecepta rettulit Bergk; Astronomicis adnumeranda esse censuerunt Barthélemy et C. Schenkl 1 *τοι* Plutarchus, *τε* Philoponus, *μὲν* schol. Veron. Vergili, *γὰρ* schol. Aristoph. schol. Hom. Ven. B et Townl. Etymologica Tzetzes *ζῶσιν* codd. Ven. B et Townl. scholior. Hom. *γενεὰς ζώει* Philoponus schol. Ven. Aristoph. 2 *γηράντων* Et. mag. v. *γηράς*, *γηρώντων* Proclus Etymologica l. altero Tzetzes, *senescentum* Ausonius, *φθινόντων* Philoponus; ··ΣΟΝΤΩΝ schol. Veron. Verg., *ἡβώντων* Plutarchus *τε* om. Philoponi codd. Et. Par. 4 *μὲν* C. G. Müller, *τοὺς* Plutarchus *δέκα — ἡμεῖς* scripsi, *δέκα δ' ἡμεῖς τοὺς φοίνικας* Plutarchus

et quater egreditur cornicis saecula cervus.
alipedem cervum ter vincit corvus et illum
multiplicat novies Phoenix reparabilis ales.
quem nos perpetuo decies praevertimus aevo
Nymphae hamadryades, quarum longissima vita est

cf. Plinius Nat. hist. VII 48, 153

1—3 Ioannes Philoponus de opif. mundi VI 2 p. 231 R. *καὶ γὰρ ἀδάμας καὶ λίθων πολλοὶ τῶν τιμωμένων μάλιστα παρ' ἡμῖν τῶν ἀνθρωπίνων σωμάτων εἰσὶ πολυχρονιώτεροί τε καὶ δυσπαθέστεροι· 'ἐννέα — ὁ κόραξ'*

1. 2 Schol. Veron. Vergil. Buc. VII 30 (III 2 p. 400 H.) *vivacis cervi*] *et Homerus* (immo *Hesiodus*) *ita: 'ἐννέα — τετρακόρωνος'*

cf. Et. mag. et Gud. (Et. Par. v. *ἀγροτέρας* Anecd. Par. IV 60 Cr.) v. *ἀγροτέρας ἐλάφους* Tzetzes Schol. Exeg. Iliad. p. 149, 26 H.

Proclus in Plat. Remp. II 13, 26 Kr. *θαυμάζομεν διὰ τί τὸ μὲν ζῇ μίαν ἡμέραν . . τὸ δὲ 'ἐννέα γενεὰς ἀνδρῶν γηρώντων' . .*

1 Schol. Aristoph. Av. 609 *κακῶς καὶ τοῦτο παρὰ τὸ 'Ησιόδειον παίζει 'ἐννέα — κορώνη'*

Schol. Ven. B Hom. *Δ* 60 *λαμβάνεται δὲ* (*ἡ γενεὰ*) *καὶ ἐπὶ χρόνου ζωῆς ἀνθρώπων ὡς τὸ 'ἐννέα — γενεάς'* cf. Schol. Townl. Hom. *Δ* 101

v. Plutarchus Mor. p. 989 a Achilles Tatius IV 4

2 Et. mag. v. *γηράς . . ἡ γενικὴ γηράντος ὡς ἱστάντος· οἷον 'γηράντων ἀνδρῶν'*

Aristophanes hist. anim. epit. II 492 L. (Supplem. Aristot. I 1, 128, 3) *ζῇ δὲ ἡ ἔλαφος ἔτη πλεῖστα. ἔστι δὲ* ⟨*τὸ*⟩ *μυθευόμενον, ὡς 'ἔλαφος τετρακόρωνος', τῶν εἰκῇ καὶ ὡς ἔτυχε πιστευομένων*

3 Tzetzes in Lycophr. 794 *ἑκατὸν ὀκτὼ γὰρ ζῇ γενεὰς καθ' Ἡσίοδον ὁ κόραξ*

172 (184)] *ἠπήσασθαι*

Phrynichus p. 91 L. (cf. Anecd. Gr. ed. Bachm. II 385) *ἀκεστὴς λέγουσιν οἱ παλαιοί, οὐκ ἠπητής· ἔστι μὲν ἠπήσασθαι ἅπαξ παρ' Ἀριστοφάνει ἐν Δαιταλεῦσι παίζοντι τὰς Ἡσιόδου Ὑποθήκας 'καὶ κόσκινον ἠπήσασθαι'. σὺ δὲ λέγε ἀκέσασθαι τὸ ἱμάτιον*

173 (185)] Quintilianus I 1, 15 *quidam litteris instituendos, qui minores septem annis essent, non putaverunt, quod illa primum aetas et intellectum disciplinarum capere et laborem pati posset. in qua sententia Hesiodum esse plurimi tradunt, qui ante grammaticum Aristophanem fuerunt, nam is primus Ὑποθήκας, in quo libro scriptum hoc invenitur, negavit esse huius poetae*

ΜΕΓΑΛΑ ΕΡΓΑ

174 (198)] *Εἰ κακά τις σπείραι, κακὰ κέρδεά κ' ἀμήσειεν·*
εἴ κε πάθοι, τά τ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο

1. 2 Anonymus comm. in Aristot. Eth. Nicom. V 8 (p. 222, 22 H.) *καὶ νῦν δ' αὐτὸς σαφῶς ἐδήλωσε παραθέ-*

---

174 cf. Ludwich JbfPh. 1874 p. 457 sq. et Peppmüller Phil. Anz. XIV 429 1 *κ'* addidit Rose, om. libri *ἀμμήσειεν* Schulze 2 *αἴ κε* Seneca schol. Aeschyl. Iulianus Suidas, *εἰ δὲ* Ludwich, qui versum cum priore coniungit *πάθοι* Aristoteles cum Heliodoro Seneca Suidas, *πάθη* schol. Aeschyl. Iulianus Isaac, *πάθος* Anonymi codd. *τά κ'* Aristoteles Anonymus, *τὰ κ'* (= *καὶ*) Ramsauer, *τὰ δ'* Bernhardy, *ἅ κ'* Isaac *δ' ἰθεῖα* schol. Aeschyl. Anonymus Iuliani codd. aliquot Suidas, *τ' ἰθεῖα* Isaac, *ευθια* (= *εὐθεῖα*) Senecae cod. Sangall. *παραθέμενος* restitui (idem Brandis), *περιθέμενος* codd.

hoc cum fragmento Ludwich l. c. schol. Plat. Phaedr. p. 260 C (cf. Gregorius Cypr. Leid. II 57) comparavit: *καρπὸν ὧν ἔσπειρας θέριζε ἐπὶ τῶν τοιαῦτα πασχόντων οἷα ἔδρασαν. παρῆκται δὲ ἀπὸ τοῦ στίχου· 'εἰ δὲ κακὰ σπείραις* (*σπείρῃς* Peppmüller), *κακὰ κέρδεά κ'* (Ludwich pro *κακά κεν, κήδεά*

μενος τὸ τοῦ ʻΡαδαμάνθυος. τὸ μέντοι ἔπος ἐστὶ παρ' ʻΗσιόδῳ ἐν τοῖς μεγάλοις Ἔργοις οὕτως ἔχον· ʻεἰ κακὰ — γένοιτο'

2 Aristoteles Eth. Nicom. V 8 . . *καίτοι βούλονταί γε τοῦτο λέγειν καὶ τὸ ʻΡαδαμάνθυος δίκαιον· ʻεἴ κε — γένοιτο'*

cf. Michael Ephes. in Eth. Nicom. p. 31, 42 H. Heliodorus Aristot. Eth. Nicom. paraphr. p. 94, 31 H. Seneca Apocol. divi Claud. 14 Schol. Medic. Aeschyl. Suppl. 444 Iulianus Conviv. p. 314 a Suidas v. *αἴ κε πάθοι* Isaac Porphyrog. (post ʻPolemonem') p. 70, 19 Hinck

175 (207)] ʻProclus' in Hes. Op. 126 *τὸ δ' ἀργύρεον ἔνιοι τῇ γῇ ἀκούουσι λέγοντες ὅτι ἐν τοῖς μεγάλοις Ἔργοις τὸ ἀργύριον τῆς Γῆς γενεαλογεῖ*

ΙΔΑΙΟΙ ΔΑΚΤΥΛΟΙ

176 (186. 187)] Plinius Nat. hist. VII 56, 197 *aes conflare et temperare Aristoteles Lydum Scythen monstrasse, Theophrastus Delan Phrygem putant, aerariam fabricam alii Chalybas, alii Cyclopas, ferrum Hesiodus in Creta eos qui vocati sunt Dactyli Idaei*

Clemens Strom. I 16, 75 (unde sua Eusebius Praep. ev. X 6, 5) *Κέλμις τε αὖ καὶ Δαμναμενεύς, οἱ τῶν Ἰδαίων Δακτύλων πρῶτοι, σίδηρον εὗρον ἐν Κύπρῳ, Δέλας δὲ ἄλλος Ἰδαῖος εὗρε χαλκοῦ κρᾶσιν, ὡς δὲ ʻΗσίοδος, Σκύθης*

κ' Cobet, *τάχα καὶ κακά κ'* Peppmüller) *ἀμήσαιο* (*ἀμήσειας* Peppmüller)'· *καὶ πάλιν· ʻὃς δὲ κακὰ σπείρει* (*σπείρῃ* Peppmüller), *θεριεῖ κακὰ κέρδεα* (Peppmüller pro *κήδεα*) *παισίν'*

176 cf. Marckscheffel l. c. p. 384 et Bethe Herm. XXIV 413 adn. 2; fragmentum Hesiodo abiudicavit Sittl *Lydum*] *Lyncum* Knaack *Δαμναμενεύς* Eusebius, *δαμνανεύς* Clementis codex (L), *Δυναμενεύς* Sittl *Δακτύλων* scripsi (post *πρῶτοι* interpungens), *οἱ τῶν Ἰδαίων δακτύλων* vel *δύο τῶν Ἰδ. δ.* ⟨*σοφοί*⟩ Kaibel, *οἱ Ἰδαῖοι δάκτυλοι* Sittl, *οἱ τῶν ἰδαίων δάκτυλοι* codex (L) *Δέλας δὲ* Eusebius, *ὁ δὲ* Clementis cod. (L)

ΑΣΤΡΟΝΟΜΙΑ

177 (9)] *Τὰς δὲ βροτοὶ καλέουσι Πελειάδας*

Athenaeus XI p. 491 c. d *καὶ ὁ τὴν εἰς Ἡσίοδον δὲ ἀναφερομένην ποιήσας Ἀστρονομίαν αἰεὶ Πελειάδας αὐτὰς λέγει 'τὰς δὲ — Πελειάδας'*

178 (10)] *Χειμέριαι δύνουσι Πελειάδες*

Athenaeus XI p. 491 d *καὶ πάλιν 'χειμέριαι — Πελειάδες'*

179 (11)] *Τῆμος ἀποκρύπτουσι Πελειάδες*

Athenaeus XI p. 491 d *καὶ πάλιν 'τῆμος — Πελειάδες'*
Plinius Nat. hist. XVIII 25, 213 (cf. Schol. Strozz. Germanici p. 209, 12) *occasum matutinum vergiliarum Hesiodus — nam huius quoque nomine extat Astrologia — tradidit fieri cum aequinoctium autumni conficeretur*

180 (14)] *Νύμφαι Χαρίτεσσιν ὁμοῖαι,*
Φαισύλη ἠδὲ Κορωνὶς ἐυστέφανός τε Κλέεια
Φαιώ θ' ἱμερόεσσα ἰδ' Εὐδώρη τανύπεπλος,
ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων

1—4 Schol. Arati 172 (p. 370, 8 M.) *Ἡσίοδος γάρ φησι περὶ αὐτῶν (τῶν Ὑάδων) 'νύμφαι — ἀνθρώπων'*

2. 3 Schol. Arati 254 (p. 386, 15 M.) *Ζεὺς δὲ ἀστέρας αὐτὰς (τὰς Ὕαντος ἀδελφὰς) πεποίηκε, τὰς καλουμένας Ὑάδας. ὧν τὰ ὀνόματα Ἡσίοδος ἐν τῇ ἀστρικῇ αὐτοῦ βίβλῳ διδάσκει λέγων· 'Φαισύλη — τανύπεπλος'*

cf. Tzetzes in Hes. Op. 384

2—4 Tzetzes Chil. XII 168 sqq. *ἐν μέσῳ τοῦ βιβλίου (ἀστρικοῦ Ἡσιόδου) δὲ τὰ ἔπη κεῖνται ταῦτα· 'Φαισύλη — ἀνθρώπων'*

180, 3 *ἰδ'* scholii Arati 172 cod. M, *καὶ* testes cett. 4 *Νύμφαι, ἃς Ὑάδας καλέουσιν φῦλ' ἀνθρώπων* Tzetzes Chil.

181 (15)] Pseuderatosthenes Catast. fr. I p. 50 R. (p. 1, 4 Ol.) = Comm. in Arat. reliq. p. 181 b 1 M. *Ἄρκτος ἡ μεγάλη*] *ταύτην Ἡσίοδός φησι Λυκάονος θυγατέρα ἐν Ἀρκαδίᾳ οἰκεῖν, ἑλέσθαι δὲ μετὰ Ἀρτέμιδος τὴν περὶ τὰς θήρας ἀγωγὴν ἐν τοῖς ὄρεσι ποιεῖσθαι· φθαρεῖσαν δὲ ὑπὸ Διὸς ἐμμεῖναι λανθάνουσαν τὴν θεόν· φωραθῆναι δὲ ὕστερον ἐπίτοκον ἤδη οὖσαν ὀφθεῖσαν ὑπ' αὐτῆς λουομένην· ἐφ' ᾧ ὀργισθεῖσαν τὴν θεὸν ἀποθηριῶσαι αὐτήν· καὶ οὕτως τεκεῖν ἄρκτον γενομένην τὸν κληθέντα Ἀρκάδα. οὖσαν δ' ἐν τῷ ὄρει θηρευθῆναι ὑπὸ αἰπόλων τινῶν καὶ παραδοθῆναι μετὰ τοῦ βρέφους τῷ Λυκάονι· μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ τοῦ Διὸς ἄβατον [ἱερὸν] ἀγνοήσασαν τὸν νόμον. ὑπὸ δὲ τοῦ ἰδίου υἱοῦ διωκομένην καὶ τῶν Ἀρκάδων, καὶ ἀναιρεῖσθαι μέλλουσαν διὰ τὸν εἰρημένον νόμον ὁ Ζεὺς διὰ τὴν συγγένειαν αὐτὴν ἐξείλετο καὶ ἐν τοῖς ἄστροις αὐτὴν ἔθηκεν. Ἄρκτον δὲ αὐτὴν ὠνόμασε διὰ τὸ συμβεβηκὸς αὐτῇ σύμπτωμα*

cf. Schol. Arat. 27 (p. 344, 10 M.)

Comm. Arati Supplem. p. 574 M. 8 *⟨π⟩ερὶ τοῦ Βοώτου τοῦ καὶ Ἀρκτοφύλακος. ⟨π⟩ερὶ τούτου λέγεται, ὅτι Ἀρκάς ἐστιν ὁ Καλλιστοῦς καὶ Διὸς γεγονώς· ᾤκησε δὲ περὶ τὸ Λύκαιον. φθείραντος αὐτὴν Διὸς οὐ προσποιησάμενος ὁ Λυκάων τὸν Δία ἐξένιζεν, ὥς φησιν Ἡσίοδος, καὶ τὸ βρέφος κατακόψας παρέθηκεν ἐπὶ τὴν τράπεζαν . . . .*

cf. Arat. comm. p. 181 a 1 M.

Apollodorus III 8, 2, 2 (p. 135, 14 W.) *Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ θυγατέρα Καλλιστὼ γενέσθαι. Ἡσίοδος μὲν γὰρ αὐτὴν μίαν εἶναι τῶν νυμφῶν λέγει, Ἄσιος δὲ Νυκτέως, Φερεκύδης δὲ Κητέως*

---

181 cf. Robert l. c. 50, 238 sq. *φθαρεῖσαν δὲ* Robert, *τε* codd. *ἐπίτοκον* Koppiers, *ἐπὶ τόκον* libri [*ἱερὸν*] seclusit Koppiers

cf. 'Hyginus' Astron. II 1 Schol. Basil. Germanici Arat. p. 58, 5 Br. Schol. Strozz. Germanici Arat. p. 112, 4 B. Schol. Sangerm. Germanici Arat. p. 112, 8 B.

182 (17)] Pseuderatosthenes Catast. fr. XXXII p. 162 R. (p. 37, 21 Ol.) Ὠρίων] *τοῦτον Ἡσίοδός φησιν Εὐρυάλης τῆς Μίνωος καὶ Ποσειδῶνος εἶναι, δοθῆναι δὲ αὐτῷ δωρεὰν ὥστε ἐπὶ τῶν κυμάτων πορεύεσθαι καθάπερ ἐπὶ τῆς γῆς. ἐλθόντα δὲ αὐτὸν εἰς Χίον Μερόπην τὴν Οἰνοπίωνος βιάσασθαι οἰνωθέντα, γνόντα δὲ τὸν Οἰνοπίωνα καὶ χαλεπῶς ἐνεγκόντα τὴν ὕβριν ἐκτυφλῶσαι αὐτὸν καὶ ἐκ τῆς χώρας ἐκβαλεῖν· ἐλθόντα δὲ εἰς Λῆμνον ἀλητεύοντα Ἡφαίστῳ συμμῖξαι· ὃς αὐτὸν ἐλεήσας δίδωσιν αὐτῷ Κηδαλίωνα τὸν αὑτοῦ [οἰκεῖον] οἰκέτην, ὅπως ὁδηγῇ· ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε σημαίνοντα τὰς ὁδούς. ἐλθὼν δ' ἐπὶ τὰς ἀνατολὰς καὶ Ἡλίῳ συμμίξας δοκεῖ ὑγιασθῆναι καὶ οὕτως ἐπὶ τὸν Οἰνοπίωνα ἐλθεῖν πάλιν τιμωρίαν αὐτῷ ἐπιθήσων. ὁ δὲ ὑπὸ τῶν πολιτῶν ὑπὸ γῆν ἐκέκρυπτο. ἀπελπίσας δὲ τὴν ἐκείνου ζήτησιν ἀπῆλθεν εἰς Κρήτην καὶ περὶ τὰς θήρας διῆγε κυνηγετῶν τῆς Ἀρτέμιδος παρούσης καὶ τῆς Λητοῦς, καὶ δοκεῖ ἀπειλήσασθαι ὡς πᾶν θηρίον ἀνελεῖν τῶν ἐπὶ τῆς γῆς γινομένων. θυμωθεῖσα δὲ αὐτῷ Γῆ ἀνῆκε σκορπίον εὐμεγέθη, ἐφ' οὗ τῷ κέντρῳ πληγεὶς ἀπώλετο. ὅθεν διὰ τὴν αὐτοῦ ἀνδρίαν ἐν τοῖς ἄστροις αὐτὸν ἔθηκεν ὁ Ζεὺς ὑπὸ Ἀρτέμιδος καὶ Λητοῦς ἀξιωθείς, ὁμοίως καὶ τὸ θηρίον τοῦ εἶναι μνημόσυνον καὶ τῆς πράξεως*

cf. Schol. Nicandr. Ther. 15; de parte priore cf. Schol. Arati 322 p. 405, 15 M., Arati comm. Anonymus II p. 247 A 1 M.

'Hyginus' Astron. II 34 *Orion. hunc Hesiodus Neptuni*

---

182 cf. Robert l. c. 162 sq. 238 sq. *Κηδαλίωνα* Nicandri schol., *ἦν δαλίωνα* cod. L (Ol.), *ἠνδαλίωνα* O, *Ἰνδαλίωνα* Sittl [*οἰκεῖον*] delevit Heyne *ὁδηγῇ*] quae in libris secuntur *καὶ ἡγῆται αὐτοῦ*, removit Robert *καὶ τῆς πράξεως*] *καὶ* delebat Heyne

filium dicit ex Euryale Minois filia natum. concessum autem ei, ut supra fluctus curreret ut in terra

cf. Schol. Basil. Germanici Arat. p. 92, 16 Br. Schol. Strozz. Germanici Arat. p. 163, 4 Br. Schol. Sangerm. Germanici Arat. p. 163, 14 Br.

183 (18)] Diodorus IV 85 (de freto Siculo exponens) *ἔνιοι δὲ λέγουσι σεισμῶν μεγάλων γενομένων διαρραγῆναι τὸν αὐχένα τῆς ἠπείρου καὶ γενέσθαι τὸν πορθμόν, διειργούσης τῆς θαλάσσης τὴν ἤπειρον ἀπὸ τῆς νήσου. Ἡσίοδος δὲ ὁ ποιητής φησι τοὐναντίον, ἀναπεπταμένου τοῦ πελάγους Ὠρίωνα προσχῶσαι τὸ κατὰ τὴν Πελωρίδα κείμενον ἀκρωτήριον καὶ τὸ τέμενος τοῦ Ποσειδῶνος κατασκευάσαι, τιμώμενον ὑπὸ τῶν ἐγχωρίων διαφερόντως· ταῦτα δὲ διαπραξάμενον εἰς Εὔβοιαν μεταναστῆσαι κἀκεῖ κατοικῆσαι· διὰ δὲ τὴν δόξαν ἐν τοῖς κατ' οὐρανὸν ἄστροις καταριθμηθέντα τυχεῖν ἀθανάτου μνήμης*

ΑΙΓΙΜΙΟΣ

184 (1)] Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 587 *ἄγγελόν φησιν Ἑρμῆν ὑπὸ Διὸς πεμφθῆναι κελεύοντα δέξασθαι τὸν Φρίξον, ἵνα τὴν Αἰήτου θυγατέρα γήμῃ. ὁ δὲ τὸν Αἰγίμιον ποιήσας διὰ ⟨τὸ⟩ δέρας αὐτὸν αὐθαιρέτως φησὶ προσδεχθῆναι. λέγει δὲ ὅτι μετὰ τὴν θυσίαν ἁγνίσας τὸ δέρας οὕτως ἔστειχεν εἰς τοὺς Αἰήτου δόμους τὸ κῶας ἔχων*

185 (2)] Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 816 *ὁ τὸν Αἰγίμιον ποιήσας ἐν δευτέρῳ φησὶν ὅτι ἡ Θέτις εἰς λέβητα ὕδατος ἔβαλλεν τοὺς ἐκ Πηλέως γεννωμένους, γνῶναι βουλομένη εἰ θνητοί εἰσιν, ἕτεροι δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιός*

---

183 ad Astronomiam referebant Marckscheffel et Robert
184 ⟨τὸ⟩ Keil, om. cod. Laur. *λέγει δὲ*] versiculum C. Schenkl restituebat: *'κῶας ἔχων ἔστειχεν ἐς Αἰήταο μέλαθρα'*
185 *ἕτεροι* Koechly, *ἑτέρους* cod. Laur.

φησι· καὶ δὴ πολλῶν διαφθαρέντων ἀγανακτῆσαι τὸν Πηλέα καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα

186 (3)] Νήσῳ ἐν Ἀβαντίδι δίῃ·
τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες,
Εὔβοιαν δὲ βοὸς τότ' ἐπώνυμον ὠνόμασεν Ζεύς

Stephanus Byz. v. Ἀβαντίς· ἡ Εὔβοια, ὡς Ἡσίοδος ἐν Αἰγιμίου δευτέρῳ περὶ Ἰοῦς 'νήσῳ — Ζεύς'

187 (4)] Ἐκ τοῦ δ' ὅρκον ἔθηκεν ἀποίνιμον ἀνθρώποισι
νοσφιδίων ἔργων πέρι Κύπριδος

Schol. Plat. Symp. p. 183 B ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος, ἐπὶ τῶν δι' ἔρωτα ὀμνυόντων πολλάκις καὶ ἐπιορκούντων. μέμνηται δὲ ταύτης καὶ Ἡσίοδος λέγων 'ἐκ — Κύπριδος [ἀφροδισίων]' cf. Hesychius v. ἀφροδίσιος ὅρκος·

Apollodorus II 1, 3, 1 (p. 51, 17 W.) Ἡσίοδος δὲ καὶ Ἀκουσίλαος Πειρῆνος αὐτήν (τὴν Ἰώ) φασιν εἶναι. ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν Ζεὺς ἔφθειρε. φωραθεὶς δὲ ὑφ' Ἥρας τῆς μὲν κόρης ἁψάμενος εἰς βοῦν μετεμόρφωσε λευκήν, ἀπωμόσατο δὲ ταύτῃ μὴ συνελθεῖν. διό φησιν Ἡσίοδος οὐκ ἐπισπᾶσθαι τὴν ἀπὸ τῶν θεῶν ὀργὴν τοὺς γινομένους ὅρκους ὑπὲρ ἔρωτος

cf. Herodianus περὶ μον. λέξ. 17 (II 923, 7 L.)

188 (5)] Καί οἱ ἐπίσκοπον Ἄργον ἵει κρατερόν τε μέγαν τε,
τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα,

186, 3 restituit Hermann; τὴν τότε ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασέν νιν Ζεύς libri; δὴ τότε γ' Εὔβοιάν μιν ἐπώνυμον ὠνόμασε Ζεύς Meineke, δὴ τότ' ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασεν Ζεύς Peppmüller

187 Catalogo adscripserunt Kirchhoff et Maaß 1 ἀποίνιμον Schneidewin, ἀμείνονα codd., ἀπήμονα Hermann, ἀναίτιον olim conieci 2 πέρι anonymus, περὶ codd. [ἀφροδισίων] delevit Bekker, Κύπριδος ὅσσ' Ἀφροδίτης anonymus

ἀκάματον δέ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος
πίπτεν ἐπὶ βλεφάροις, φυλακὴν δ' ἔχεν ἔμπεδον αἰεί

1—4 Schol. Eurip. Phoen. 1116 *ὁ δὲ τὸν Αἰγίμιον ποιήσας φησί 'καί — αἰεί'*

cf. Tzetzes Schol. in Exeg. Iliad. p. 153, 21 H. Apollodorus II 1, 3, 3 (p. 52, 2 W.)

189 (6)] Schol. Ven. B Hom. Ω 24 *Ἀργεϊφόντην] . . . κατὰ τοὺς Ἡσιόδου μύθους τὸν βουκόλον Ἰοῦς ἐφόνευσεν (Ἑρμῆς)*

190 (7)] *Ἔνθα ποτ' ἔσται ἐμὸν ψυκτήριον, ὄρχαμε λαῶν*

Athenaeus XI p. 503 c. d *Νίκανδρος δ' ὁ Θυατειρηνὸς καλεῖσθαί φησι ψυκτήρια καὶ τοὺς ἀλσώδεις καὶ συσκίους τόπους τοὺς τοῖς θεοῖς ἀνειμένους, ἐν οἷς ἐστιν ἀναψῦξαι . . . . καὶ ὁ τὸν Αἰγίμιον ποιήσας, εἴθ' Ἡσίοδός ἐστιν ἢ Κέρκωψ ὁ Μιλήσιος, 'ἔνθα — λαῶν'*

191 (8)] *Πάντες δὲ τριχάικες καλέονται,*
τρισσὴν οὕνεκα γαῖαν ἑκὰς πάτρης ἐδάσαντο

Et. gen. v. *τριχάικες· . . . . Ἡσίοδος δὲ διὰ τὸ τριχῆ αὐτοὺς οἰκῆσαι 'πάντες — ἐδάσαντο'. τρία γὰρ Ἑλληνικὰ ἔθνη τῆς Κρήτης ἐποικῆσαι, Πελασγούς, Ἀχαιούς, Δωριεῖς. οὓς τριχάικας κεκλήκασι. παραιτητέον γὰρ τοὺς λέγοντας αἰνίττεσθαι Ἡρακλειδῶν δύναμιν τριχῆ διῃρημένην· νεώτερα γὰρ ταῦτα*

188, 4 *πίπτεν* om. codd. MT, desideratur in cod. Tzetzae *φυλακή* TAB Tzetzes *ἔσχεν* TB *ἔμπεδος* TAB Tzetzes *αἰέν* Tzetzes

191, 2 *τρισσὴν οὕνεκα* Goettling; *οὕνεκα τρισσὴν* Etymologica *πάτρης* Et. mag., *πατρίδος* Et. gen. *ἐδάσσαντο* Et. gen. *τῇ Κρήτῃ* Et. mag. *ἐποίκησαν Πελασγοί, Ἀχαιοί, Δωριεῖς* Et. mag.

ΕΞ ΑΔΗΛΩΝ ΕΠΩΝ

192 (211)] *Οὐρανίη δ' ἄρ' ἔτικτε Λίνον πολυήρατον υἱόν,*
ὃν δή, ὅσοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταί,
πάντες μὲν θρηνεῦσιν ἐν εἰλαπίναις τε χοροῖς τε,
ἀρχόμενοι δὲ Λίνον καὶ λήγοντες καλέουσιν

Schol Townl. Hom. Σ 570 *καὶ Ἡσίοδος 'Οὐρανίη — καλέουσιν'*, unde sua Eustathius Hom. 1163, 62

193 (212)] *Παντοίης σοφίης δεδαηκότα*

Clemens Strom. I 4, 25 *Ἡσίοδος γὰρ τὸν κιθαριστὴν Λίνον παντοίας σοφίας δεδαηκότα εἰπὼν καὶ ναύτην οὐκ ὀκνεῖ λέγειν σοφόν . .*

194 (213)] *Εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπὲκ θανάτοιο σαώσαι*
ἢ αὐτὸς Παιήων, ὃς ἁπάντων φάρμακα οἶδεν

Schol. Hom. BHQ δ 231 *διαφέρει ⟨γὰρ⟩ ὁ Παιήων Ἀπόλλωνος, ὡς καὶ Ἡσίοδος μαρτυρεῖ 'εἰ μὴ — οἶδεν'*
cf. Schol. Hom. MTV δ 232 Eustathius Hom. 1494, 12

195 (214)] *Αὐτὸς γὰρ πάντων βασιλεὺς καὶ κοίρανός ἐστιν*
ἀθανάτων τέ οἱ οὔ τις ἐρήρισται κράτος ἄλλος

192, 1 *δ' ἄρ'* Eustathius, *δ'* schol. Townl. 2 *ὅσοι* Eustathius, *σοι* schol. Townl. 3 *θρηνεῦσιν* scripsi, *θρηνοῦσιν* schol. Townl. Eustathius *ἠδὲ χοροῖσιν* Eustathius 4 *δὲ* Eustathius, *τε* schol. Townl.

193 *Λίνον κιθαριστὴν* in clausula versus antecedentis collocavit Goettling *παντοίης σοφίης* Hermann

194, 1 *σαώσαι* ope scholii M (Marc.) T (Hamb.) ad Hom. δ 232 correxit Dindorf, *σαώσει* schol. B (Ambr. B) H (Harl.) Q (Mediol.) ad δ 231, *σώσει* Eustathius; *σαώσῃ* Hemsterhuis 2 *αὐτὸς* om. Eustathius, *καὶ* Hermann *πάντων* Eustathius, *πάντα τε* Schol. BQ ad 231, *πάντα* schol. H ad 231 et T ad 232 ⟨*γὰρ*⟩ Ludwich

195, 1 sq. *ἐσσι* | *ἀθανάτων· τέο δ'* Sittl 2 *τε ὁδ'* cod. P Clementis Protrept. (*τέο δ'* Stählin), *σέο δ'* cod. L Clementis

1 sq. Clemens Protr. c. 7, 73 *ταύτῃ τοι καὶ ὁ Ἀσκραῖος αἰνίττεται Ἡσίοδος τὸν θεόν· ʽαὐτὸς — ἄλλος'*

Clemens Strom. V 14, 112 (cf. Eusebius Praep. ev. XIII 13) *ἀλλὰ καὶ ὁ Ἡσίοδος ʽαὐτὸς γὰρ πάντων' φησὶ ʽβασιλεὺς — ἄλλος'*

196 (215)] *Δῶρα θεῶν μακάρων πλῆσθαι χθονί*

Epim. Hom. in Anecd. Ox. I 148, 23 Cr. *καὶ Ὅμηρος ʽἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλημένος εἶναι'. τούτου γὰρ ἀπαρέμφατον Δωριστὶ πλῆσθαι, ἐνεστῶτος ὡς αἱρῆσθαι· Ἡσίοδος· ʽδῶρα — χθονί'*

197 (217)] *Μουσάων, αἵ τ' ἄνδρα πολυφραδέοντα τιθεῖσι θέσπιον αὐδήεντα*

Clemens Strom. I 6, 36 *καὶ Ἡσίοδος· ʽΜουσάων — αὐδήεντα'*

198 (44)] *Οὔρειαι Νύμφαι θεαὶ ἐξεγένοντο*
καὶ γένος οὐτιδανῶν Σατύρων καὶ ἀμηχανοεργῶν
Κουρῆτές τε θεοὶ φιλοπαίγμονες ὀρχηστῆρες

Strabo X p. 471 *Ἡσίοδος μὲν γὰρ Ἑκατέρου καὶ τῆς Φορωνέως θυγατρὸς πέντε γενέσθαι θυγατέρας φησίν, ἐξ ὧν ʽοὔρειαι — ὀρχηστῆρες'*

199 (220)] ʽHyginus' fab. 152b: *Phaethon Solis et Clymenes filius*

Strom.; *τέ οἱ* Buttmann, an *δέ οἱ*? *τῷ δ'* Goettling *ἐρήρεισται* cod. P Clementis Protr., *ἐρίρισται* ex *ἐρήρισται* m[1] factum cod. L Clementis Strom.

196 *αἱρῆσθαι* Ahrens, *ἡρῆσθαι* cod.

197, 1 *τιθεῖσι* L. Dindorf, *τιθεῖσαι* cod. Clementis (L)

198 ad Idaeos Dactylos pertinere arbitratus est Sittl 1 *τάων δ'*〉 in principio versus addidit Marckscheffel *ὄρειαι* libri Strabonis *ἐγένοντο* libri Strabonis 2 *κακομηχανοεργῶν* Meineke 3 *φιλοπαίσμονες* Cobet *Ἑκατέρου*] *ἑκατέρω, ἑκαταίου, ἑκατέου* libri Strabonis

199 Astronomiae attribuit Marckscheffel, Catalogo Robert; de ʽHygini' narratione cf. Robert Herm. XVIII 434 sqq. Eratosth.

cum clam patris currum conscendisset et altius a terra esset elatus, prae timore decidit in flumen Eridanum. hunc Iuppiter cum fulmine percussisset, omnia ardere coeperunt. Iovis ut omne genus mortalium cum causa interficeret, simulavit se id velle extinguere; amnes undique irrigavit, omneque genus mortalium interiit praeter Pyrrham et Deucalionem. at sorores Phaethontis quod equos iniussu patris iunxerant in arbores populos commutatae sunt

fab. 154 (*Phaethon Hesiodi*) extr. *harum lacrimae, ut Hesiodus indicat, in electrum sunt duratae. Heliades tamen nominantur; sunt autem Merope Helie Aegle Lampetie Phoebe Aetherie Dioxippe. Cygnus autem rex Liguriae, qui fuit Phaethonti propinquus, dum deflet propinquum, in cygnum conversus est. is quoque moriens flebile canit.*

Schol. Strozz. Germanici Arat. p. 174, 6 Br. (de Eridano) *Hesiodus autem dicit inter astra conlocatum propter Phaethonta, Solis et Clymenes filium, qui clam dicitur currum patris ascendisse cumque a terra altius levaretur, prae timore in Eridanum fluvium, qui et Padus, cecidisse eumque percussum fulmine a Iove, omnia ardere coepisse causaque extinguendi universos amnes inmissos esse omneque mortalium genus interisse praeter Pyrram et Deucalionem. sorores quoque Phaethontis flentes in arbores populos versas fuisse. lacrimae quoque earum in electrum duratae dicuntur Heliadesque appellatae. ipsas autem nomina habuisse Merope Helie Aegle Lampetie Phoebe Aetherie Dioxippe. Cygnus quoque, rex Liguriae, Phaethonti propinquus dum defleret, et ipse in cygnum conversus. is quoque moriens flebile canit.*

Cataster. rel. 214; de Phaethonte Hesiodeo cf. Knaack ap. Roscher Lex. d. Myth. III 2180 de Eustathii adnotatione (Hom. 1689, 4) *Ἡσίοδος δέ φησι προμιγῆναι αὐτὴν (τὴν Κλυμένην) Ἡλίῳ καὶ τεκεῖν Φαέθοντα* cf. schol. Hom. λ 326 Marckscheffel l. c. 357 Robert Herm. XVIII 437

Narrat. fab. Ovid. Met. II fab. 2 p. 796 St. *sorores Phaethontis Phaethusa Lampetie Phoebe casum fratris dum deflent, deorum misericordia in arbores populos mutatae sunt. lacrimae earum, ut Hesiodus et Euripides indicant, in electrum sunt conversae*

cf. Schol. Strozz. Germanici Arat. p. 185, 4 Br.

200 (266)] Phlegon Mirab. c. V p. 74 K. *οἱ αὐτοὶ* (*Ἡσίοδος καὶ Δικαίαρχος καὶ Κλέαρχος καὶ Καλλίμαχος καὶ ἄλλοι τινές,* cf. c. IV p. 73 K.) *ἱστοροῦσιν κατὰ τὴν Λαπιθῶν χώραν γενέσθαι Ἐλάτῳ τῷ βασιλεῖ θυγατέρα, ὀνομαζομένην Καινίδα· ταύτῃ δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι ποιήσειν αὐτὴν ὃ ἂν ἐθέλῃ, τὴν δὲ ἀξιῶσαι μεταλλάξαι αὐτὴν εἰς ἄνδρα ποιῆσαί τε ἄτρωτον. τοῦ δὲ Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος μετονομασθῆναι Καινέα*

201 (137)] *Θεσσάμενος γενεὴν Κλεοδαίου κυδαλίμοιο*

Schol. Laur. Apoll. Rhod. Arg. *Α* 824 *θέσσασθαι γὰρ τὸ αἰτῆσαι καὶ ἱκετεῦσαι. καὶ Ἡσίοδος· ʻθεσσάμενος — κυδαλίμοιοʼ*

202] Bacchylides V 191 sq. *Βοιωτὸς ἀνὴρ τάδε φών⟨ησεν . . .* | *Ἡσίοδος πρόπολος* | *Μουσᾶν, ὃν ⟨ἂν⟩ ἀθάνατοι τι⟨μῶσι, κείνῳ⟩* | *καὶ βροτῶν φήμαν ἕπ⟨εσθαι*

203 (125)] Aelianus Var. Hist. XII 20 *λέγει Ἡσίοδος τὴν ἀηδόνα μόνην ὀρνίθων ἀμοιρεῖν ὕπνου καὶ διὰ τέλους*

---

201 ad Aegimium referebat Buttmann; in Catalogi fragmentis collocavit Marckscheffel *Κλεαδαίου* cod. Laur., corr. Lehmann *θέσσασθαι* Schaefer, *θέσθαι* cod. Laur.

202 ad Theog. 81 sq. pertinere arbitratus est Sitzler *φών⟨ησεν* Blass *⟨ἂν⟩* addidit Blass *τι⟨μῶσι* Housman *⟨κείνῳ⟩* Wilamowitz, *⟨τούτῳ⟩* Housman *ἕπ⟨εσθαι* Housman, ЄΠ···· papyrus

203 haec de Procne et Philomela narrari arbitratur Marckscheffel *ἀμοιρεῖν* Dukerus, *ἀμελεῖν* codd.

ἀγρυπνεῖν. τὴν δὲ χελιδόνα οὐκ ἐς τὸ παντελὲς ἀγρυπνεῖν, ἀποβεβληκέναι δὲ καὶ ταύτην τοῦ ὕπνου τὸ ἥμισυ

204 (221)] *Πρωὶ μάλ' ἠίθεον*

Ammonius v. *ὄρθρος* p. 101 V. *πρωὶ δέ, ἡ πρὸ τοῦ καθήκοντος καιροῦ (ὥρα) . . . καὶ Ἡσίοδος τελευτῆσαί τινα 'πρωὶ — ἠίθεον', τοῦτ' ἔστι πρόωρον*

205 (225)] *Ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδῃσι,*
νοῦν δ' Ἀμυθαονίδαις, πλοῦτον δ' ἔπορ' Ἀτρεΐδῃσιν

Nicolaus Damasc. Fr. 33 (Fragm. hist. Graec. III 374 M.) *ὅτι ἐδόκει φρονήσει τὸ τῶν Ἀμυθαονιδῶν γένος τὸ παλαιὸν ἐν τοῖς Ἕλλησι πρωτεύειν· ὥς περ καὶ Ἡσίοδός φησιν ἐν τούτοις· 'ἀλκὴν — Ἀτρεΐδῃσιν'*

cf. Suidas v. *ἀλκή* (I 1 p. 227 B.)

206 (227)] *Τῇδε γὰρ ἀξυλίῃ κατεπύθετο κήλεα νηῶν*

Schol. Ven. A Hom. *Λ* 155 (*ἡ διπλῆ*) *πρὸς τὴν ἄξυλον, ὅτι πολλὰς ἐκδοχὰς ἔσχηκεν. οἱ μὲν γὰρ τὴν θρυώδη ἀποδεδώκασιν, οἱ δὲ τὴν πολύξυλον· βέλτιον δὲ ἀφ' ἧς οὐδεὶς ἐξυλίσατο, ὡς Ἡσίοδος· 'τῇδε — νηῶν'*

207 (229)] ***Οὐκέτι δὴ βαίνουσι λαροῖς ποσίν***

Et. gen. v. *λαρόν . . . λέγεται καὶ ἐπὶ τοῦ ἁπαλοῦ. Ἡσίοδος 'οὐκέτι — ποσίν'* cf. Lex. Vindob. p. 119, 17 N.

---

203 *ἀποβεβληκέναι δὲ* Hercher, *δὲ ἀπολωλέναι* codd. *καὶ ταύτην* transposui, *ἀγρυπνεῖν καὶ ταύτην* codd.

204 de Eurygye (Androgeo, cf. fragm. 104) intellexit Ruhnken

205, 1 *Αἰακίδαισι* Nicolaus 2 *δ' ἔπορ'* praeeunte Reizio Hermann, *δὲ παρ'* Nicolaus, *δέ περ* Suidas

206 *τῇδε* '*dort*' Hermann, *τῆλε* cod. Venet. A *χείλεα νηῶν* Hermann, *κῆλ' ἁλιήων* Goettling, *νήια κᾶλα* Sittl

207 *οὐκέτι δὴ*] *οὐκ ἐπειδὴ* Lex. Vindob. *βαῖνον λιπαροῖς* Ruhnken

Schol. Laur. Apoll. Rhod. Arg. *Α* 456 *῾Ησίοδος δέ φησι ῾λαροῖς ποσίν᾽, τοῖς κατ᾽ ὄψιν ἡδέσιν*

208 (230)] *Ὤπτησαν μὲν πρῶτα, περιφραδέως δ᾽ ἐρύσαντο*
Schol. Ven. A Hom. *Ω* 624 *ὤπτησάν τε περιφραδέως*] *σημειοῦνταί τινες, ὅτι ῾Ησίοδος ἐποίησεν ῾ὤπτησαν — ἐρύσαντο᾽*

209 (233)] Herodotus IV 32 *ἀλλ᾽ ῾Ησιόδῳ μέν ἐστι περὶ ῾Υπερβορέων εἰρημένα*

210 (234)] *Τοῦ γὰρ ἀέξετο θυμὸς ἐνὶ στήθεσσι φίλοισιν*
Chrysippus Stoic. Fr. II 254, 11 A. ap. Galenum de plac. Hippocr. et Plat. I p. 265, 7 M. (V p. 300 K.) *τῶν δὲ ἐξ ῾Ησιόδου παραγραφέντων ὑπὸ Χρυσίππου παμπόλλων καὶ αὐτῶν ὄντων ἀρκέσει μοι δυοῖν ἢ τριῶν ἐπιμνησθῆναι παραδείγματος ἕνεκα· ῾τοῦ — φίλοισιν᾽*

211 (235)] *Οἷον ἐνὶ στήθεσσι χόλον θυμαλγέ᾽ ἔχουσα*
Chrysippus Stoic. Fr. II 254, 15 A. ap. Galenum de plac. Hippocr. et Plat. I p. 265, 12 M. (V p. 300 K.) *καὶ ῾οἷον — ἔχουσα᾽*

212 (236)] *Δωδώνην φηγόν τε, Πελασγῶν ἕδρανον, ᾖεν*
Strabo VII p. 327 *οἱ δὲ Πελασγοὶ τῶν περὶ τὴν ῾Ελλάδα δυναστευσάντων ἀρχαιότατοι λέγονται· καὶ ὁ ποιητής φησιν οὕτω ῾Ζεῦ ἄνα Δωδωναῖε, Πελασγικέ᾽, ὁ δ᾽ ῾Ησίοδος ῾Δωδώνην — ᾖεν᾽*

---

209 Catalogo attribuit Marckscheffel
210 *τοῦ γὰρ* Nauck, *τοῦδε γὰρ* L (schedae Laur.), versus initium mutilum in cod. M (Marciano), *τοῦ δὴ* olim scripsi
211 *ἔχουσι* L (schedae Laur.)
212 *ᾖεν* Boissonade, *ἦεν* codd., *ἧκεν* Casaubonus, *ἶκεν* Cobet

213 (237)] Schol. Ven. A Hom. *I* 246 *σημειοῦνταί τινες, ὅτι τὴν ὅλην Πελοπόννησον οὐκ οἶδεν ὁ ποιητής, Ἡσίοδος δέ*

214 (238)] v. Fr. 96, 8

215 (239)] *Πίσσης τε δνοφερῆς καὶ κέδρου νηλέι καπνῷ*

Schol. A Hephaest. p. 109, 4 Consbr. '*πίσσης — καπνῷ*' *οὗτος ὁ στίχος ἐστὶ μὲν Ἡσιόδου, λαμβάνεται δὲ καὶ δακτυλικὸς καὶ ἴαμβος, ὅπως τις θέλει, διὰ τὰς κοινάς* cf. Schol. Tzetz. *περὶ μέτρ.* in Anecd. Ox. III 318 adnot. Cr.

216 (240)] v. Fr. 96, 86

217 (241)] *Αὐτὸς δ' ἐν πλήσμησι διιπετέος ποταμοῖο*

Schol. Laur. Apoll. Rhod. *A* 757 *διαφέρει πλήμνη καὶ πλήσμη. ἡ μὲν γὰρ τὴν χοινικίδα σημαίνει τοῦ τροχοῦ, ἡ δὲ πλήσμη τὴν πλήμμυραν τοῦ ποταμοῦ. διόπερ παρ' Ἡσιόδῳ οὕτως ἀναγνωστέον· 'αὐτὸς — ποταμοῖο' καὶ οὐχ ὥς τινες 'ἐν πλήμνησι', εἰ μὴ ἄρα ἔξωθεν προσλάβοιμεν τὴν 'σύν' πρόθεσιν, 'σὺν πλήμνησιν'*

218 (242)] *Ὡς ἀκαλὰ προρέων ὡς ἀβρὴ παρθένος εἶσιν*

Stephanus Byz. v. *Παρθένιος· ποταμὸς ἐν μέσῳ τῆς Ἀμαστριανῶν πόλεως ῥέων. ἐκλήθη δ' ἐκ τοῦ συνεχῶς περὶ αὐτὸν τὴν παρθένον Ἄρτεμιν κυνηγετεῖν ἢ διὰ τὸ ἠρεμαῖον καὶ παρθενῶδες τοῦ ῥεύματος· 'ὡς — εἶσιν'* cf. Et. mag. v. *ἀκαλός·*

---

213 ad Hymn. Hom. Apoll. Pyth. 72 (112, 241, 252, 254) pertinere ratus est Bergk

215 *κέδρου* Tzetzes, *κεδρίου* scholior. Heph. cod. D, *κεδρινοῦ* cod. I, *δενδρίνου* cod. A

217 Catalogi fragmentum esse existimat Marckscheffel *ἐν πλήμνησι* quidam teste scholio *δ' ἐν*] *δὲ* Marckscheffel

218 versum Parthenio Meineke, Hesiodo Gaisford et Hecker tribuerunt

219 (245)] *Νήπιος, ὅς τις ἕτοιμα λιπὼν ἀνέτοιμα διώκει*

Schol. Theocr. XI 75 *Ἡσίοδος· ʽνήπιος — διώκειʼ*

Orion Anthologn. (Stob. ed. IV p. 252, 3 M.) *Ἡσιόδου· ʽνήπιος — διώκειʼ*

Plutarchus Mor. p. 505 d *ἁρπάσας οὖν τὸ αἰνιχθὲν ἐκεῖνος καὶ νοήσας, οἶμαι, ὅτι ʽνήπιος — διώκειʼ, τὴν βεβαιοτέραν εἵλετο σωτηρίαν πρὸ τῆς δικαιοτέρας*

Schol. Pind. Pyth. III 38 *ἔστι δὲ ὅμοιον τῷ· ʽνήπιος — διώκειʼ*

220 (246)] *Ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων*

Harpocration v. *ἔργα νέων· τοῦτο Ὑπερείδης ἐν τῷ κατ' Αὐτοκλέους Ἡσιόδου φησὶν εἶναι· παροιμία τίς ἐστιν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικὸς οὕτως ἔχουσαν· ʽἔργα — γερόντωνʼ*

cf. Apostolius VII 90 Macarius IV 11

221 (248)] *Ὥς κε πόλις ῥέζησι, νόμος δ' ἀρχαῖος ἄριστος*

Porphyrius de abstin. II 18 *καὶ τὸν Ἡσίοδον οὖν εἰκότως τὸν τῶν ἀρχαίων θυσιῶν νόμον ἐπαινοῦντα εἰπεῖν ʽὥς κε — ἄριστοςʼ*

222 (249)] *Χρὴ δέ σε πατρὶ . . . κτίλον ἔμμεναι*

Schol. Nicandr. Ther. 452 *τὰ κτίλα ἐπὶ τῶν ἡμέρων καὶ τιθασσῶν τίθεται . . . . καὶ Ἡσίοδος· ʽχρὴ — ἔμμεναιʼ*

223 (250)] *Ὁ εἰπόντος μὲν ἐμεῖο*
φαῦλόν κεν δόξειεν ἔμεν, χαλεπὸν δὲ νοῆσαι

---

219 'Chironis praeceptis' adscribi voluit Hopfner *ὅς τις* Gaisford, *ὃς τὰ* testes omnes, *ὅς τά γ'* Boeckh, *ὅς τ' ἂν . . . διώκῃ* Paulson, *ὅς κεν . . . διώκῃ* Peppmüller *τὰ ἀνέτοιμα* schol. Theocr.

220 suspectum Sittlio *ἔργα νέων*] cf. Blass Hyper. ed.[3] fr. 57

222 *δέ σε* om. codd. Vatic. Monac., *δὲ* Paris. Marcian.

223 restituit Goettling

Pseudoplato Epist. XI (p. 359 A) *συμβουλεῦσαι μέντοι ἔχω σοί τε καὶ τοῖς οἰκισταῖς, ὃ εἰπόντος μὲν ἐμοῦ, φησὶν Ἡσίοδος, δόξαι ἂν εἶναι φαῦλον, χαλεπὸν δὲ νοῆσαι*

224 (270)] Photius Bibl. p. 535 b 38 B. (ex Helladio) *τὸ δὲ κνισᾶν ἀγυιὰς παρὰ Ἡσιόδῳ τοῖς θεοῖς θύειν λέγει*

225 (272)] Pollux III 19 *καλοῖτο δ' ἂν υἱὸς ἀγαπητὸς ὁ μόνος ὢν πατρὶ ἢ μητρί, ὥσπερ καὶ ἀγαπητὴ θυγάτηρ ἡ μονογενὴς ⌊καθ' Ἡσίοδον⌋*

226] Audacis Excerpta, Gramm. Lat. VII 332 K. *Qui primum his observationibus in componendis carminibus usi sunt? Phemonoe dicitur Apollinis vates prima per insaniam ita locuta, cuius Hesiodus meminit*

227 (200)] Plinius Nat. hist. XV 1, 3 *Hesiodus in primis culturam agrorum docendam arbitratus vitam negavit oleae satorem fructum ex ea percepisse quemquam; tam tarda tunc res erat*

228 (201)] Plinius Nat. hist. XXII 22, 67 *asphodelum de clarissimis herbarum, ut quod heroion aliqui appellaverint, Hesiodus et in silvis nasci dixit*

229 (203)] Theophrastus Hist. Plant. IX 19, 2 W. *καὶ ὥς δή φασι τὸ τριπόλιον καθ' Ἡσίοδον καὶ Μουσαῖον εἰς πᾶν πρᾶγμα σπουδαῖον χρήσιμον εἶναι, δι' ὃ καὶ ὀρύττουσιν αὐτὸ νύκτωρ σκηνὴν πηξάμενοι*

---

224 ab Hesiodo abiudicavit Haupt
225 *μουνογενὴς θυγάτηρ ἀγαπητή* (coll. β 365) Peppmüller *καθ' Ἡσίοδον* om. BC
226 *Hesiodus*] *Heliodorus* Sittl
227 Hesiodi esse negavit Sittl
228 suspicionem movit Sittlio *silvis*] *fluviis* cod. Riccard.
229 pro suspecto habet Sittl *τριπόλιον*] *τριπέτηλον* Goettling

Plinius Nat. hist. XXI 20, 145 *polio Musaeus et Hesiodus perungui iubent dignationis gloriaeque avidos; polium tractari, coli, polium contra venena haberi, contra serpentes substerni, uri, portari, in vino decoqui recens vel aridum inlinique*

cf. idem Nat. hist. XXI 7, 44

230 (204)] Plinius Nat. hist. XXV 2, 12 *primus autem omnium, quos memoria novit, Orpheus de herbis curiosius aliqua prodidit, post eum Musaeus et Hesiodus polium herbam in quantum mirati sint diximus, Orpheus et Hesiodus suffitiones commendavere*

231 (205)] Plinius Nat. hist. XXIII 1, 43 *meracis potionibus per viginti dies ante canis ortum totidemque postea suadet Hesiodus uti*

232 (206)] Servius in Vergil. Georg. III 280 *scit lectum esse apud Hesiodum herbam esse quandam, quae hippomanes vocatur, quasi ἵππου μανία. si enim eam comederint equi, furore quatiuntur*

233 (252)] *ἄγαλμα*

Suidas v. *ἀγάλματα . . . . καὶ Ἡσίοδος τὸν ὅρμον ʽἄγαλμα’ καλεῖ*

234 (253)] v. Fr. 96, 46

235 (255)] *ἄφυζαν*

Schol. Ven. A et Townl. Hom. *Φ* 528 *πεφυζότες*] *ὅθεν ʽἄφυζαν’ τὸν λέοντα Ἡσίοδός φησιν* cf. Schol. Ven. B Hom. l. c.

---

231 ad Op. 585 sqq. pertinere arbitratur Sittl
232 *Hesiodum*] *Theocritum* Burmann
235 suspectum Sittlio *ἀφύζαν* cod. Townl. *φησιν*] *εἶπεν* schol. Townl.

236 (256)] *βρῖ*

Strabo VIII p. 364 *παραδείγμασι δὲ χρῶνται τοῦ μὲν ποιητοῦ τῷ κρῖ καὶ δῶ καὶ μάψ . . . Ἡσιόδου δέ, ὅτι τὸ βριθὺ καὶ βριαρὸν 'βρῖ' λέγει*

unde sua Eustathius Hom. 295, 3

237] *ἥδυμος*

Tzetzes Exeg. Iliad. p. 4, 9 H. *καὶ ἕτεροι δὲ πλεῖστοι, ὥς περ καὶ Ποσειδώνιος ὁ Ἀπολλωνιάτης ὁ τῷ Ἡσιόδῳ μέμψιν ἐπάγων, ὡς παραφθείραντί τινας τῶν Ὁμήρου λέξεων τὸν Ὀιλέα 'Ἰλέα' εἰπόντι καὶ τὸν νήδυμον 'ἥδυμον', . . . τῆς Ὁμηρικῆς ἐπεμελήθησαν ἐξηγήσεως*

238 (257)] *ὅτων*

Schol. Philostr. Her. p. 464 B. *εὑρίσκεται δὲ καὶ παρ' Ἡσιόδῳ μόνῳ καὶ γενικὴ τῶν πτώσεων πληθυντικῶν (τοῦ 'ὅτις') ἐν χρήσει, 'ὅτων' ἀντὶ τοῦ ὧντινων*

239 (258)] *πρόκριν*

Anecd. Ox. I p. 46, 31 Cr. *Ἡσίοδος δὲ τὸ 'πρόκριν' παρὰ τὸ κρίσις, πρόκρισις, πρόκρισιν καὶ ἐν συγκοπῇ πρόκριν*

240 (260)] *φυλλοχόος μείς*

Pollux I 231 *καὶ 'φυλλοχόος μὴν' ὁ ταῦτα ποιῶν ὡς Ἡσίοδος*

cf. Himerius IX 1 Eustathius Hom. 631, 4 (1555, 6)

241 (59)] Schol. Ven. A Hom. *K* 431 *Φρύγες*] *(ἡ διπλῆ), ὅτι ἑτέρους τῶν Τρώων οἶδε τοὺς Φρύγας καὶ ὅτι Ὅμηρος οὐκ οἶδε καλουμένους Λυδούς, ἀλλὰ Μήονας. πρὸς τὰ περὶ ἡλικίας Ἡσιόδου*

---

239 *Πρόκριν* (Cephali uxorem) Schneidewin

240 referebatur ad Op. 421, sed cf. Nauck MGrR. III 275 *μείς* scripsi, *μήν* Pollux

242 (261)] Strabo XIII p. 587 ἀπεδείχθη δὲ θεὸς οὗτος (Πρίαπος) ὑπὸ τῶν νεωτέρων· οὐδὲ γὰρ Ἡσίοδος οἶδε Πρίαπον

243 (262)] Schol. Harl. Ambr. Hom. τ 34 λύχνον] λέγει δὲ τὴν δᾷδα κυρίως. τῷ δὲ παρ' ἡμῖν καλουμένῳ λύχνῳ τοὺς ἥρωας χρωμένους ὁ ποιητὴς οὐκ εἰσάγει οὐδὲ Ἡσίοδος μέμνηται

244 (263)] Argumentum Soph. Oed. Reg. II ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα δῆλον· οὔτε γὰρ Ὅμηρος οὔτε Ἡσίοδος οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει

ΑΠΟΣΠΑΣΜΑΤΑ ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ

245] * * *

Ποσε<ιδαων
. . λ̣'ὅν γ̣ . .
Παν>διονίδα̣ο̣
ἐδιδ>άξατο Παλλὰς Ἀθή<νη
τ̣ε γὰρ ἶσα θεοῖσι
εἵ>ματος ἀργυφέοιο
>δ' ἀπὸ εἶδος ἄητο.
ης πειρήσατο βουλα̣<ῖς
Διὸ>ς νόον αἰγιόχοιο
διζ>ήμενος ἦλθε γυνα<ῖκα
νεφεληγερέτα Ζεύ<ς

---

243 τοῦ . . . καλουμένου λύχνου schol., corr. Ludwich οὐδὲ G. Dindorf, καὶ οὔτε schol.

245 cf. Fr. 7b; Hesiodeis tribuerunt Grenfell-Hunt cum Blassio 1 ΠΟϹЄ . . . . G 3 Εὐρυνόμη Νίσου θυγάτηρ> ex Hygin. fab. 157 supplet Blass Παν>ΔΕΙΟΝΙΔΑ̣Ο̣ G 4 τὴν πᾶσαν τέχνην ἐδιδ>άξατο Blass 9 Διὸ>ς Grenfell-Hunt 10 τὴν δ' ἄρ' ἐέδνοισιν διζ>ήμενος Blass ex Hom. φ 161

ἀνένευε κ⟩αρήατι, μή ποτ' ὀπᾴϲ̣⟨σαι
υ̣του Σισυφίδαο
ἠδὲ Ποσειδάωνος ἐν⟩ ἀγκοίνῃσι μιγεῖ⟨σα
ἔτικτεν⟩ ἀμύμονα Βελλ⟨εροφόντην
κ̣τηι ἐπ' ἀπείρονα π⟨όντον,
πα⟩τὴρ πόρε Πήγασο⟨ν ἵππον
μ̣ιν ἔπ̣τε⟨το?
ε̣η̣ταια̣λ̣ .

* * *

Papyrus Oxyrhynch. 421 (= G) saec. II ed. Grenfell et Hunt, 'the Oxyrhynchus Papyri' III p. 70

246] *Δωτίῳ ἐν πεδίῳ*

Orus ap. Stephanum Byz. v. *Δώτιον· ἐκλήθη δὲ Δώτιον ἀπὸ Δώτου τοῦ Πελασγοῦ παιδός, ὡς Ἡρωδιανός ἐν η'· Δῶτος ὁ Πελασγοῦ, ἀφ' οὗ τὸ Δώτιον πεδίον. ἐκ περιττοῦ τοίνυν Ὦρος ἐν τοῖς Ἐθνικοῖς τῇδε γράφει καὶ τὰ περὶ Θάμυριν ἐν Δωρίῳ παριστοροῦντος τοῦ ποιητοῦ πάλιν Ἡσίοδος 'Δωτίῳ ἐν πεδίῳ' φάσκει αὐτὸν τετυφλῶσθαι*

247] *Καὶ τότε δὴ στηθέων Ἀθάμα φρένας ἐξέλετο Ζεύς*

Galenus de plac. Hippocr. et Plat. I 266, 7 M. *τὰ μὲν γὰρ τοιαῦτα τῶν ἐπῶν ἅπαντα ἐχρῆν ὑπὸ αὐτοῦ (Χρυσίππου) παραλελεῖφθαι, διὰ ὧν δὲ νοῦν καὶ φρένας καὶ διάνοιαν καὶ λογισμὸν εἶπέ τις ποιητὴς ἐν καρδίᾳ περιέχεσθαι, συνάγειν ἔδει, καθάπερ ἔχει καὶ τὰ τοιαῦτα· 'καὶ — Ζεύς'*

245, 12 *ἀνένευε κ⟩αρήατι* ex Hom. *K* 205 Grenfell-Hunt 13 . . . Ṇ̇TOY G, an *Γλα⟩ύ̣κ̣ου?* 14 *ἠδὲ Ποσειδάωνος⟩* dedi *ἐν⟩* Grenfell-Hunt 15 *ἔτικτεν⟩* scripsi 16 *π⟨όντον* Grenfell-Hunt *πα⟩τὴρ* iidem *ἵππον* add. iidem
246 ab Hesiodo abiudicavit Marckscheffel
247 Hesiodi videtur esse *Ἀθάμα] ἀθ' ἅμα* cod. M (Marcianus), *ἅθ' ἅμα* L (schedae Laur.)

248 (224)] *Δαϊζομένοιο πόλησς*

'Pseudophilemon' v. *εὐφυής· καὶ τοῖς θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συντάττουσιν ἐπίθετα, ὡς παρ' Ὁμήρῳ 'κλυτὸς Ἱπποδάμεια' καὶ 'θερμὸς ἀυτμή' καὶ 'ἁλὸς πολιοῖο' καὶ παρ' Ἡσιόδῳ 'δαϊζομένοιο πόλησς'*

cf. Phavorinus Lex. p. 781, 20 B.

249 (223)] Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 1396 *ᾧ ἔνι Λάδων·] Πείσανδρος τὸν δράκοντα ὑπείληφεν ἀπὸ τῆς γῆς γεγενῆσθαι, Ἡσίοδος δὲ ἐκ Τυφῶνός φησιν*

250 (46)] Narrat. fabul. Ovid. Met. IV fab. 5 p. 811 St. *Sol praelatam Leucothoen ex Eurynome et Orchamo Achaemeniae principe origine Beli genitam Clymenae ac Rhodo, Circes matri, et Clytiae, quarum pulchritudine ante sollicitum animum egerat, dilexit et cupiens, ut in antedictis cupiditatem sedare, in speciem matris puellae Eurynomes conversus virginem deceptam dolo vitiavit. cuius adulterio Clytie incensa, qua nondum satiatus erat Sol, parenti puellae indicavit. quam ille cum terrae defodisset, vitiator admissi misericordiam exhibens diducto solo, cui subiecta fuerat, pro ea virgam tinctam nectare, quae gratissima diis hominibusque esset, extulit, quae turea adpellatur. hoc Hesiodus indicat*

251 (47)] Narrat. fabul. Ovid. Met. XI fab. 4 p. 864 St. *Pan cum Tmolum montem Lydiae frequentans fistula se oblectaret, elatus gloria agrestium Nympharum, Apollinem in certamen devocavit. iudice ergo Tmolo, cuius mons erat,*

---

248 num Ascraei poetae sit, dubium *δαϊζομένοιο* Osann, *δαϊζομένου* cod., *δαϊζομένου δὲ*? Marckscheffel
249 aliud legitur Theog. 333 sq.
250 eicit Sittl
251 e fragmentis expellit Sittl

cum victoria Apollini esset adiudicata, Midae regi supradicto adsidenti soli displicuit. quam ob causam Apollo ob eandem stultitiam, quam et supra gesserat in Liberi patris voluntate, iratus aures eius asininae ut essent sempiterno effecit, cuius iudicium nulli rei facerent. qui tamen fertur Midas esse Matris Magnae filius. sic enim cum Hesiodo consentit Ovidius

252 (48)] Narrat. fabul. Ovid. Met. XIII fab. 3 p. 873 St. *Memnon, Tithoni et Aurorae filius, Priamo ferens auxilium ab Achille occiditur. mater ergo precibus pro adsiduo officio inducendae lucis ab Iove inpetrat, ut in cineres eius adusto rogo sorores in volucres convertantur, Memnonides nomine. quae memores belli quotannis ad sepulcrum eius conveniunt et inter se dimicantes sanguine suo manibus eius frequentes parentant. et ipsa mater eius matutinis temporibus lacrimas desiderio filii sui Memnonis transmutat in rorem, cui tamen monumentum in Phrygia constituit patruus eius, ut Hesiodus vult*

253 (209)] Auctor libri de caelo ('Aristoteles') III 1 *εἰσὶ γάρ τινες οἵ φασιν οὐδὲν ἀγένητον εἶναι τῶν πραγμάτων, ἀλλὰ πάντα γίγνεσθαι· γενόμενα δὲ τὰ μὲν ἄφθαρτα διαμένειν, τὰ δὲ πάλιν φθείρεσθαι, μάλιστα μὲν οἱ περὶ Ἡσίοδον, εἶτα καὶ τῶν ἄλλων οἱ πρῶτοι φυσιολογήσαντες*

254 (210)] Zeno (Stoic. Fr. I 63, 25 A.) ap. Laertium Diogenem VIII 1, 25, 48 *ἀλλὰ μὴν καὶ τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον καὶ τὴν γῆν στρογγύλην (Πυθαγόραν), ὡς δὲ Θεόφραστος Παρμενίδην, ὡς δὲ Ζήνων Ἡσίοδον*

---

252 delet Sittl *cui* Muncker, legebatur *quod*
253 ad Theog. **116** sq. refert Sittl
254 ad Theog. **127** spectare ratus est Sittl

255 (202)] Plinius Nat. hist. XXII 22, 73 *asphodelum ab Hesiodo quidam halimon appellari existimavere, quod falsum arbitror; est enim suo nomine halimon, non parvi et ipsum erroris inter auctores*

256 (219)] Iosephus Flavius Antiq. Iud. I 108 (cf. Eusebius Praep. evang. IX 13) *Ἡσίοδός τε καὶ Ἑκαταῖος καὶ Ἑλλάνικος καὶ Ἀκουσίλαος καὶ πρὸς τούτοις Ἔφορος καὶ Νικόλαος ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια*

cf. Ioannes Laurentius Lydus de mens. III 5

257 (243)] Eustathius Hom. 1293, 25 *ἐς πηγὰς δὲ ἱερεύονται μῆλα διὰ τὸ αὐτὰς γονίμους εἶναι τοῦ ὅλου ποταμοῦ, ἔτι δὲ καὶ τιμίας ἀρχικῷ λόγῳ, καθὰ παραδηλοῖ καὶ Ἡσίοδος*

258 (19)] Georgius Monachus (Hamartolus) Chron. I 26, 5 (ex Ioseph. Flav. Antiq. Iud. I 167) *καὶ πρῶτος κατελθὼν* (ὁ *Ἀβραὰμ*) *εἰς Αἴγυπτον ἀριθμητικὴν καὶ ἀστρονομίαν Αἰγυπτίους ἐδίδαξε· πρῶτοι γὰρ εὑρεταὶ τούτων οἱ Χαλδαῖοι γεγένηνται· παρὰ δὲ τῶν Ἑβραίων ἔλαβον Φοίνικες· ἀφ' ὧν ὁ μὲν Κάδμος ταῦτα μετήγαγεν εἰς τοὺς Ἕλληνας. ὁ δὲ Ἡσίοδος μάλα συντάξας εὐφυῶς Ἕλλησιν*

259 (267)] *Ἀτασθαλίῃσι νόοιο*

Et. Gud. v. *ἀτασθαλία· ἡ περὶ τὸν οἶνον ἀταξία· καὶ 'ἀτασθαλίῃσι νόοιο', οὕτως ἐν Ἡσιόδῳ*

260 (16)] Narrat. fabul. Ovid. Metam. II fab. 5, 6 p. 797 St. de Callistone: *quae a Iove cum Arcade filio, quem erat*

---

256 ad Oper. 130 pertinere suspicatur Kinkel
257 ad Oper. 757 referendum?
258 Georgium Monachum ad Opera respexisse putat Sittl
259 ad Oper. 685 (*ἀιδρείῃσι νόοιο*) pertinere suspicatus est Gaisford; ad Homerum rettulerit Nauck
260 ex Hom. Σ 489 ε 275 pendere iudicat Sittl

enixa, inter sidera conlocatur. a Graecis autem Helice, a nostris septentrio nuncupatur et a Tethy et Oceano ob Iunonis iram inter cetera sidera liquore non tingitur, ut auctor Hesiodus indicat

261 (254)] *ἄρκυς*

Et. Gud. v. *ἄρκυς· εἶδος δικτύου ἐκ παχέος σχοινίου, ὃ ἱστᾶσι πρὸς θήραν λεόντων ἢ ἄρκτων ἢ ἐλάφων. καὶ δασύνεται, ἐκ τοῦ εἴργω τοῦ κωλύω, τροπῇ τῆς ει διφθόγγου εἰς ᾱ. Ἡσίοδος·*

cf. Et. mag. v. *ἄρκυς* Anecd. Ox. II 336, 427 Cr.

262] *Αἰὲν . . μὴ . . πετῆνα γενέσθαι*

Et. gen. v. *ζαῆν ἄνεμον· τὸν σφοδρῶς πνέοντα . . . ὡς παρὰ τὸ πέτω γίνεται πετήν· Ἡσίοδος 'αἰὲν μὴ πετῆνα γενέσθαι'*

263 (226)] *Ποταμῷ †ῥέοντι ἐοικώς*

Servius in Vergil. Georg. I 245 *in morem fluminis*] *Hesiodus 'ποταμῷ ῥέοντι ἐοικώς'*

264 (228)] *Ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν*

Schol. Ambros. Hom. *η* 104 *μύλη γὰρ καὶ τὸ ἄκρον τοῦ μηροῦ. καὶ Ἡσίοδος γάρ φησι τὸ 'ἀλετρεύουσι — καρπόν' ἐπὶ τῆς ἠλακάτης τῆς στρεφομένης δίκην μύλης. μήλοπα γὰρ τὸν τῶν προβάτων καρπόν, ἤτοι τὸν μαλλόν*

---

261 *Ἡσίοδος*] *Ἡρωδιανός* Marckscheffel

262 pro dubio habuit Ritschl; lyrico cuidam poetae adscripserit Hermann   *αἰὲν* Et. gen. cod A, *ἄιέν με* Ludwich *με πετῆνα* Hermann

263 Astronomiae attribuit Maaß; nomina Hesiodi et Homeri confusa esse suspicatur Nauck; ad Scut. 314 pertinere censet Peppmüller   *ῥέοντι* Servius, *ῥείοντι* Lobeck, *πλήθοντι* Nauck

264 in Catalogi fragmentis collocavit Marckscheffel   *Ἡσίοδος*] *Ἡλιόδωρος* Sittl

265 (244)] Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ
μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ

1—3 Schol. Pind. Nem. II 1 Φιλόχορος δὲ ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν τὴν ᾠδὴν οὕτω φησὶν αὐτοὺς (τοὺς ῥαψῳδοὺς) προσκεκλῆσθαι· δηλοῖ δὲ ὁ Ἡσίοδος λέγων· 'ἐν — Λητώ'

1. 2 Eustathius Hom. 6, 14 καὶ φέρεται εἰς τὴν τοιαύτην ἔννοιαν Ἡσιόδου ῥῆσις αὕτη ἐν μέτρῳ ἡρῴῳ· 'ἐν Δήλῳ — ἀοιδήν'

266 (269)] Schol. (paraphr.) Lycophr. 822 p. 71 Sch. πρῶτος Ἡσίοδος τῆς Ἑλένης τὸ εἴδωλον παρήγαγε

267 (259)] τέτορες

Phavorinus Eclog. Gramm. Gr. I 421, 29 D. τέτορας Δωρικῶς λεχθέν, οὗ εὐθεῖα κεῖται παρ' Ἡσιόδῳ

268 (23)] Narrat. fabul. Ovid. Met. fab. I p. 788 St. *ex terra cum omnia generata sint variarumque rerum mater reperiatur, tum humanum genus, quod cuncta vinceret, Prometheus Iapeti filius, ut idem Hesiodus ostendit, ex humo finxit, cui Minerva spiritum infudit*

269 (274)] Χαλεπὸς δ' ἐπὶ δράγματι λιμός

265, 1 τὸ Paulson

266 Stesichori esse arbitratur Marckscheffel τῆς Ἑλένης Buecheler, περὶ τῆς Ἑλένης schol., περὶ τῆς Ἑλένης λέγων Geel, περιόδῳ γῆς (in tertio Catalogi libro) Ἑλένης Bergk

267 delendum esse censuit Nauck verbis hunc in modum mutatis: οὗ οὐδέτερον κεῖται παρ' Ἡσιόδῳ (cf. Op. 698)

268 solam Promethei genealogiam commemorari arbitratur Sittl *variarumque* ⟨*ea*⟩ C. Schenkl

269 Hesiodo tribuerunt Hertlein et Bergk ἐπὶ τῷ δράγματι V, ἐπὶ δράχματι Marcian. 251 Monac. 113, ἐπὶ δράματι Paris. 3029, ἐπὶ δώματι volgo, quod recepit Hertlein

Iulianus Misop. p. 369 b *εἰ δὲ τοσαῦτα μέτρα θέρους ἦν παρ' ὑμῖν τοῦ νομίσματος, τί προσδοκᾶν ἔδει τηνικαῦτα, ἡνίκα, φησὶν ὁ Βοιώτιος ποιητής, χαλεπὸν γενέσθαι τὸν λιμὸν ἐπὶ δράγματι;*

270 (251)] *Αἴγλη τ'⟩ ἠδ' Ἐρύθεια καὶ Ἑσπερέθουσα βοῶπις*

Servius in Vergil. Aen. IV 484 *Hesiodus has Hesperidas Aeglen Erytheam et Hesperethusam, Noctis filias, ultra Oceanum mala aurea habuisse dicit*

Schol. Clement. Protrept. I p. 302, 34 St. *παρ' Ἑσπερίδων] Ἑσπερίδες νύμφαι τινὲς νόμιοι οὕτω λεγόμεναι, αἳ φυλάττουσαι τὰ λεγόμενα χρύσεα μῆλα· 'ἡ δὲ Ἐρύθεια καὶ Ἑσπερέθουσα βοῶπις', ὥς φησιν Ἀπολλώνιος ὁ Ῥόδιος*

cf. Tzetzes Theog. 118 sq.

271 (268)] *Μηδὲ δίκην δικάσῃς, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς*

Aristophanes Vesp. 725 *ἦ που σοφὸς ἦν, ὅς τις ἔφασκεν, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς, | οὐκ ἂν δικάσαις*

Cicero ad Attic. VII 18 *ego autem etsi illud ψευδησιόδειον — ita enim putatur — observo, μηδὲ δίκην, praesertim in te, a quo nihil umquam vidi temere fieri, tamen illius querela movebar*

Plutarchus Mor. 1034 e *πρὸς τὸν εἰπόντα· 'μηδὲ — ἀκούσῃς' ἀντέλεγεν ὁ Ζήνων . . .*

---

270 *Αἴγλη τ'⟩* Unger, qui nominibus confusis Apollonium pro Hesiodo commemorari exposuit; dissentit Seeliger *ἡ δὲ ἐρυθία* codd. PM, corr. Unger *Aeglen*] *egle* codd. FT *Erytheam*] *eriteren* cod. F, *eritheren* cod. T; ex Apollod. II 5, 11, 2 corr. Thilo *Hesperethusam* Unger, *hesperitusam* F, *haesperithusa* T, *Hesperiam Arethusam* ex Apollodoro Thilo

271 ad 'Chironis praecepta' rettulit Schneidewin *πρὶν ἂν ἀμφοῖν* Aristophanes schol. Aristoph. Plutarchus, *πρὶν ἄμφω* Pseudophocylidea Luciani codd. pars, *πρὶν ἀμφοῖν* testes ceteri

praeterea versum exhibent Pseudophocyl. 87 Pseudoplato Demod. p. 383 B, C Lucianus Calumn. n. tem. cred. 8 Schol. Medic. Aeschyl. Eum. 431 Schol. Eurip. Androm. 957 Schol. Aristoph. Vesp. 725 Schol. Thucyd. I 44 Paroemiogr. Gr. II 759, 14; cf. Schol. Eurip. Hipp. 264 Gregorius Naz. Epist. 218

272 (247)] *Δῶρα θεοὺς πείθει, δῶρ' αἰδοίους βασιλῆας*

Plato de Rep. III p. 390 E *οὐδ' ᾀστέον αὐτοῖς ὅτι 'δῶρα — βασιλῆας'*

Suidas v. *δῶρα· 'δῶρα — βασιλῆας'. οἱ μὲν 'Ησιόδειον οἴονται τὸν στίχον, εἴρηται δὲ καὶ Πλάτωνι ἐν τρίτῃ Πολιτείᾳ*

273 (271)] *'Εβδομάτῃ δ' αὖτις λαμπρὸν φάος ἠελίοιο*

Clemens Strom. V 14, 107 *'Ησίοδος μὲν οὕτως περὶ αὐτῆς (τῆς ἑβδόμης ἡμέρας) λέγει· 'πρῶτον — ἦμαρ'* (Op. 770), *καὶ πάλιν 'ἑβδομάτῃ — ἠελίοιο'*

unde sua Eusebius Praep. ev. XIII 12, 13 cf. idem l. c. XIII 13, 34

274 (265)] *Φοῖβον ὕδωρ ἐπάγων κέρασ' 'Ωκεανοῖο ῥοῇσι*

Apollonius Lex. v. *Φοῖβος . . . . φοῖβον δὲ κατὰ γλῶτταν τὸ καθαρόν, ὡς καὶ 'Ηλιόδωρος· 'φοῖβον — ῥοῇσι'*

275 (12)] *Τηϋγέτη τ' ἐρόεσσα καὶ 'Ηλέκτρη κυανῶπις*
'Αλκυόνη τε καὶ 'Αστερόπη δίη τε Κελαινὼ
Μαῖά τε καὶ Μερόπη, τὰς γείνατο φαίδιμος ῎Ατλας

---

272 *δῶρ'*] *καὶ* Suidas

273 v. a falsariis Iudaeis fictum esse censuit Valckenaer; ad Operum recensionem quandam pertinere ratus est Hermann *ἑβδομάτη* Eusebius l. utroque *αὖτις* Eusebius XIII 13, 34, *αὖθις* Clemens Eusebius l. altero

274 Heliodori, poetae epigrammatici, esse censet Sittl *κέρασ'* Bekker, *κέρας* cod. *'Ηλιόδωρος*] *'Ησίοδος* Villoison

275 fragmentum cum proximo Astronomiae esse censet Marckscheffel, 'Musaeo' tribuerit Sittl 2 *θείη* Hartel, sed cf. Theog. 260 †*ὧν οἱ ἀστέρες οὗτοι*] *ὡς* codd. BD; *ὡς ὁ ῎Αρατος, αὗται* Hecker, ⟨*'Ησίοδος δ'*⟩ *ὅτι ἀστέρες οὕτω* C. Schenkl

Schol. Pind. Nem. II 16 *ζητεῖται δὲ διὰ τί ὀρείας εἶπε τὰς Πλειάδας. καί τινες μὲν ἔφασαν, ὅτι νύμφαι ἦσαν, †ὧν οἱ ἀστέρες οὗτοι· 'Τηΰγέτη — Ἄτλας'*

276 (13)] *Κυλλήνης ἐν ὄρεσσι θεῶν κήρυκα τέχ' Ἑρμῆν*

Schol. Pind. Nem. II 16 *Σιμωνίδης δὲ μίαν τῶν Πλειάδων Μαῖαν ὀρείαν προσηγόρευσεν εἰπών· 'Μαιάδος οὐρείας ἑλικοβλεφάρου'· †κατὰ λόγον· αὕτη γὰρ 'Κυλλήνης — Ἑρμῆν'·* unde sua Tzetzes in Lycophr. 219 sqq.

277 (264)] *Ἀσπληδὼν Κλύμενός τε καὶ Ἀμφίδοκος θεοειδής*

Stephanus Byz. v. *Ἀσπληδών· Ὀρχομενοῦ δὲ υἱεῖς 'Ἀσπληδὼν — θεοειδής'* cf. Eustathius Hom. 272, 18

278 (174)] *Τελαμὼν ἀκόρητος ἀυτῆς*
ἡμετέροις ἑτάροισι φόως πρώτιστος ἔθηκε
κτείνας ἀνδρολέτειραν ἀμώμητον Μελανίππην,
αὐτοκασιγνήτην χρυσοζώνοιο ἀνάσσης

Schol. Pind. Nem. III 64 *περὶ τοῦ καὶ ἐπὶ τὰς Ἀμαζόνας συστρατεῦσαι· 'Τελαμὼν — ἀνάσσης'*

ΑΠΟΣΠΑΣΜΑΤΑ
ΚΙΒΔΗΛΑ ΚΑΙ ΨΕΥΔΕΠΙΓΡΑΦΑ

1 (208)] Aristoteles Hist. Anim. VIII 18, 2 *τὰ μὲν οὖν γαμψώνυχα, καθάπερ εἴρηται πρότερον, ὡς ἁπλῶς εἰπεῖν, ἄποτα*

---

276 Astronomiae adscripserit Marckscheffel, Catalogo Schneidewin *θεὸν* BTU *αὕτη γὰρ κατὰ τὸν α' κατάλογον* Bergk
277 Hesiodo versum dederunt Buttmann et Hermann
278 cf. Pind. Nem. III 36—39; Ehoearum fragmentum esse iudicat Luebbert, Cinaethoni dat Corey

πάμπαν ἐστίν· ἀλλ' Ἡσίοδος ἠγνόει τοῦτο· πεποίηκε γὰρ τὸν τῆς μαντείας πρόεδρον ἀετὸν ἐν τῇ διηγήσει τῇ περὶ τὴν πολιορκίαν τὴν Νίνου πίνοντα

2] Nicander Ther. 8 sqq.

ἀλλ' ἤ τοι κακοεργὰ φαλάγγια, σὺν καὶ ἀνιγροὺς
ἑρπηστὰς ἔχιάς τε καὶ ἄχθεα μυρία γαίης
Τιτήνων ἐνέπουσιν ἀφ' αἵματος, εἰ ἐτεόν περ
Ἀσκραῖος μυχάτοιο Μελισσήεντος ἐπ' ὄχθαις
Ἡσίοδος κατέλεξε παρ' ὕδασι Περμησσοῖο

cf. Schol. Nicandr. Ther. 11 *ἰστέον δὲ ὅτι ψεύδεται Νίκανδρος ἐνταῦθα. οὐδαμοῦ γὰρ τοῦτο εἶπεν* (*ὁ Ἀσκραῖος*) *ἐν τοῖς πραττομένοις . . . περὶ γοῦν τῆς τῶν δακνόντων θηρίων γενέσεως, ὅτι ἐστὶν ἐκ τῶν Τιτάνων τοῦ αἵματος, παρὰ μὲν τῷ Ἡσιόδῳ οὐκ ἔστιν εὑρεῖν. Ἀκουσίλαος δέ φησιν ἐκ τοῦ αἵματος τοῦ Τυφῶνος πάντα τὰ δάκνοντα γενέσθαι*

3] Et. gen. v. *εἰλυφάζω· Ἡσίοδος· 'ἄνεμος φλόγα εἰλυφάζων'*

4] Eustathius Hom. 124, 37 *ὁ δὲ ποιητής φησι καὶ ὅτι τοῦ πατρὸς ἀμείνων ἦν, ὅπερ σπάνιον κατὰ τὸν Ἡσίοδον λέγοντα· 'παῦροι δέ τε πατρὸς ἀρείους'* cf. idem Hom. 447, 26

5] Lucianus Hermot. 3 *ἀλλὰ τήν γε ἀρχὴν ὁ αὐτὸς οὗτος Ἡσίοδος ἥμισυ τοῦ παντὸς ἔφη εἶναι*

5b] Schol. Lycophr. 1393 *ὁ δὲ Ἐρυσίχθων Αἴθων ἐκαλεῖτο, ὥς φησιν Ἡσίοδος, διὰ τὸν λιμόν*

---

1 *Ἡρόδοτος* (pro *Ἡσίοδος*) scribendum esse exposuit Navarre; fragmentum ad Ornithomantiam rettulit Bergk

2 vix falsis adnumerandum esse iudicat Schoemann; ad Theogoniae recensionem quandam pertinere existimat Bergk

3 confusi loci Hom. *Υ* 492 et Hesiod. Theog. 692

4 est versus Hom. *β* 277

5 cf. Hes. Op. 40

5b Op. 363 grammaticum in mente habuisse probavit Marckscheffel; cf. Callim. Hymn. Cer. 67 sq.

6] Schol. Palat. in Simiae Alas Amor. p. 83, 24 Haeb. *Ἀκμονίδαν δὲ τὸν Οὐρανόν· Ἡσίοδος· ‛Γαῖα μὲν Ἄκμονα ἔτικτεν· ἀπὸ δ' Ἄκμονος Οὐρανός'*

7] Schol. Medic. Aeschyl. Prom. 367 *Κιλίκων· οἰκήσαντα μὲν ἐν Κιλικίᾳ, κολασθέντα δὲ ἐν Σικελίᾳ. Ἡσίοδος δὲ ‛τόν ποτε Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον'*

8] Anecd. Graeca V 144 Boiss. *ὁ μὲν γὰρ Ἡσίοδος σοφόν φησιν εἶναι τὸν πολλὰ εἰδότα φυᾷ*

9] Strabo I p. 59 *καὶ ἡ πρότερον δὲ Ἀρτεμίτα λεγομένη μία τῶν Ἐχινάδων νήσων ἤπειρος γέγονε . . . συγχοῦνται δὲ καὶ αἱ λοιπαί, ὥς Ἡσίοδός φησιν*

10] Hieronymus Epitaph. Nepot. t. IV 273 M. *et Hesiodus natales hominum plangens gaudet in funere*

11] Theo Progymn. c. VI Rhet. Gr. I 217, 9 W. *δεύτερον δὲ ἀπὸ τοῦ ἀδυνάτου ἐπιχειρήσομεν, δεικνύντες ὅτι ἀδύνατον τὸ πρᾶγμα οὕτω γενέσθαι, ὥς φησιν ὁ συγγραφεύς, ἤ τοι διὰ τὸ μηδόλως πεφυκέναι γίνεσθαι, ἢ διὰ τὸ μὴ κατὰ τὸν αὐτὸν χρόνον εἶναι τὰ ἱστορούμενα, οἷον πρὸς τοὺς λέγοντας, ὅτι Ἡρακλῆς ἀπέκτεινε Βούσιριν· κατὰ γὰρ Ἡσίοδον πρεσβύτερος Ἡρακλέους ἐστὶν ὁ Βούσιρις ἕνδεκα γενεαῖς*

---

6 Alcmanis esse (cf. Eust. Hom. 1154, 25) censuit Hermann; e Titanomachia esse deprompta arbitratur Bergk; *Γαῖα μὲν Ἄκμον' ἔτικτεν* Hesiodo adscribit Sittl

7 Pindarum Pyth. I 30 ab Hesiodo versum mutuatum esse (cf. Schulze Quaest. ep. 154 adn. 1) existimavit Mess, cui adversatus est Usener Rh. Mus. LVI 186

8 Pindari est Ol. II 154

9 *Ἡρόδοτος* recte Coraes

10 pertinere videtur ad Euripidis Cresph. Fr. 449 p. 498 N.[2]

11 ‛*Ἰσοκράτην*' pro ‛*Ἡσίοδον*' scribendum esse probavit Kontos

12] Schol. Theocrit. I 27 schol. Lucian. de die nef. p. 210, 16 R. Et. gen. v. *κισσύβιον·* . . . *Ἡσίοδος· ʽὀλίγῳ δʼ ἥδετο κισσυβίῳʼ*

12b] Plutarchus Mor. p. 553 f *τὰ λοιπὰ δʼ Ἡσιόδου χρὴ νομίζειν ἀκροᾶσθαι* . . . p. 554 a *ʽἡ γὰρ κακήʼ, φησί, ʽβουλὴ τῷ βουλεύσαντι κακίστηʼ* (Op. 266). *καί ʽὃς δʼ ἄλλῳ κακὰ τεύχει, ἑῷ κακὸν ἥπατι τεύχειʼ*

Fragm. Marcianum ed. Hercher Herm. III 385, 13 *καὶ τὸ τοῦ Ἡσιόδου πληρούμενον ʽὃς κακὸν ἄλλῳ τεύχων ἑῷ κακὸν ἥπατι τεύχειʼ*

13 (273)] Eustathius Hom. 1318, 7 . . *τὸ ὑπερβαίνειν καὶ ἡ ἐξ αὐτοῦ ὑπερβασία, ἧς καὶ παρʼ Ἡσιόδῳ χρῆσίς ἐστιν, ἐν τῷ ʽὑπερβασίαι δʼ ἀλεγειναίʼ*

14] Et. gen. v. *βύβλος· Ἡσίοδος ἐν Ἀσπίδι οἷον ʽΒύβλον τʼ ἀγχίαλον καὶ Σιδῶνʼ ἀνθεμόεσσανʼ*

15 (199)] Fulgentius Mitol. III 1 (p. 59 sq. Helm) *Pritos Panfila lingua sordidus dicitur sicut Esiodus in bucolico carmine scribit ʽπροῖτος σταφυλάων | εὖ λακτιζομένων αἱμορ-*

---

12 Callimachi est Fr. 109, 2 Schn. *ὀλίγον* schol. Theocrit. *δʼ* (*δὲ* schol. Lucian.) *ἥδεται* schol. Lucian. Et. gen., *δὲ εἴσεται* schol. Theocrit.

12b confunditur Callimachi Fr. 222 Schn. cum Hes. Op. 265

13 *ὑπερβασίαι δʼ ἀλεγειναί* in Pseudophoc. v. 36 et 69 B.[4] legitur; an ad Op. 828 referendum?

14 est versus Dionysii Perieg. 912

15 Hesiodo primus abiudicavit Scriverius; ex Euphorionis ʽHesiodoʼ versiculos depromptos esse existimat Unger; de fragmento cf. Jungmann Coniect. Fulgent. 37 sqq. et Kaibel Herm. XV 449 sq. *pritos* Helmii cod. G, *peprigos* codd. αβ (*peprigros* cod. E), *pepigros* codd. HM: unde *Προῖτος* Casaubonus, ⟨*ὁ*⟩ *δὲ Προῖτος* Ritschl, *βεβριθὼς* Fröhlich, *πεπρηθὼς* (*αἱμόρ-*

ϱάντοισι ⟨δϱόσοισιν⟩' id est sordidus uvarum bene calcatarum sanguineo rore

15b] Athenaeus III 116a *Εὐθύδημος ὁ Ἀθηναῖος . . . ἐν τῷ πεϱὶ ταϱίχων Ἡσίοδόν φησι πεϱὶ πάντων τῶν ταϱιχευομένων τάδ' εἰϱηκέναι·*

ἄμφακες [μὲν] πϱῶτον στόμα κέκϱιται† αντα καὶ ϑιοιην
γναϑμὸν ⟨ὃν⟩ ηὐδάξαντο δυσείμονες ἰχϑυβολῆες,
οἷς ὁ ταϱιχόπλεως ἅδε Βόσποϱος, οἵ ϑ' ὑπόγαστϱα
τμήγοντες τετϱάγωνα ταϱίχια τεκταίνονται.
ναὶ μὴν οὐκ ἀκλεὲς ϑνητοῖς γένος ὀξυϱϱύγχου,
ὃν καὶ ὅλον καὶ τμητὸν Ἀλεξανδϱεῖς ἐκόμισσαν.
ϑύννων δ' ὡϱαίων Βυζάντιον ἔπλετο μήτηϱ
καὶ σκόμβϱων κυβίων τε καὶ εὐχόϱτου † λικιβάττεω
καὶ Πάϱιον κολιῶν κυδϱὴ τϱοφὸς ἔσκε πολίχνη·
Ἰόνιον δ' ἀνὰ κῦμα φέϱων Γαϑειϱόϑεν ἄξει
Βϱέττιος ἢ Καμπανὸς ἢ ἐκ ζαϑέοιο Τάϱαντος
ὀϱκύνοιο τϱίγωνα, τά τ' ⟨ἐν⟩ στάμνοισι τεϑέντα
ἀμφαλλὰξ δείπνοισιν ἐνὶ πϱώτοισιν ὀπηδεῖ.

ϱοον . . ἐέϱσην 'emittens sanguineum rorem') Jungmann, *φυϱτὸς* C. Schenkl· secuntur in codd. corrupta haec: *ista fulueulactis* (*ũlancis* T) *menes emoru* (*semoru* P, *emorum* TDβα [MH] β; *ista fulveo* (*fulueu* M) *lactis mene somoru* (*semoru* M) HM; unde *σταφυλάων* | *εὖ λακτιζομένων* Leutsch, *σταφυλῆφι* | *εὖ λακτιζομένης* Ritschl, *αἱμοϱϱάντοισι* Peppmüller, *αἱμοϱϱαγέεσσι* ipse conieci, *αἱμοσταγέεσσι* Unger ⟨*δϱόσοισιν*⟩ Unger

15b ab Hesiodo alienum 1 [*μὲν*] del. Bergk *κέκϱιται* Kaibel, *καὶ κϱιται* cod. A *ἂν τακεϱωϑῇ*? dubitans Kaibel 2 ⟨*ὃν*⟩ Kaibel 3 *ταϱιπόλεως* A, corr. Casaubonus *οἱ πυϑόγαστϱι* A, corr. Hermann 4 *τετϱωαγωνα* A, corr. Musurus *ταϱίχια* Coraes, *ταχητϱια* A 5 *οξυοϱύγχου* A, corr. Meineke 6 *Ἀλεξανδϱεῖς* scripsi, *ἅλες τϱηχεῖς* A 8 *κυβίων* Meineke, *βυϑίων* A 9 *κωλιων* A, corr. CE 10 *φέϱων* Kaibel, *φεύγων* A, *φυγὼν* Musurus *γαδείϱαϑεν* A, corr. Meineke 11 *ἐκ ζαϑέοιο* Kaibel, *ἐξ ἀγαϑοῖο* A 12 ⟨*ἐν*⟩ add. Musurus

ταῦτα τὰ ἔπη ἐμοὶ μὲν δοκεῖ τινος μαγείρου εἶναι μᾶλλον ἢ τοῦ μουσικωτάτου Ἡσιόδου. πόθεν γὰρ εἰδέναι δύναται Πάριον ἢ Βυζάντιον ἔτι δὲ Τάραντα καὶ Βρεττίους καὶ Καμπανοὺς πολλοῖς ἔτεσι τούτων πρεσβύτερος ὤν; δοκεῖ οὖν μοι αὖ τοῦ Εὐθυδήμου εἶναι τὰ ποιήματα

16] Schol. ('Lactantius Placidus') Stat. Theb. III 483 *prima opinio est ab Hesiodo: futura praedicere, quia supernus conditor orbis, cum chaos figuraret in semina, hanc illis potestatem concessit*

17] Schol. ('Lactantius Placidus') Stat. Theb. IV 482 *quidam enim volunt non Iovis † filium esse Mercurium, sed † Pyrrhae — in qua opinione etiam Hesiodus versatur in his libris, quos de Theogonia scripsit, quidam Persei*

18 (218)] Proclus Proleg. in Hesiod. Op. p. 4, 18 G. *ταῦτα μὲν οὖν καὶ ἐν ἄλλοις εἴρηται. νῦν δὲ τῶν ἐν τῷ βιβλίῳ λέξεων τὰς δεομένας σαφηνείας διερμηνεύσωμεν* ... D'Orvillii codex additum habet: *ῥήσεις Ἡσιόδου· 'μουσοπνόων στομάτων'. ἄλλως*

19] Athenagoras lib. pro Christ. 14 (*ἵδρυνται θεούς* . . . .) *ἀλκμὰν καὶ ἡσίοδος μήδειαν ἢ νιόβην*

20] Hesychius v. *Ἀργείη· Πελοποννησία· λευκὴν δὲ Ἡσίοδος*

---

16 Hesiodeum nihil praeter chaos, cf. Wilamowitz Herm. XXXIV 603
17 de scholio graviter corrupto cf. Wilamowitz l. c. 603 sq.
18 cf. Sittl Wien. St. XII 60
19 *Ἀκαρνᾶνες Ἀμφίλοχον, Μῆδοι Δηιόκην, ⟨Μόψον⟩ Κίλικες* Schwartz; *Κερκυραῖοι* vel *Ἀσκραῖοι Ἡσίοδον κτλ.* Sauppe
20 *Ἡσίοδος*] *Ἡλιόδωρος* Ruhnken

21] Hesychius v. *ἄμφουδις· περὶ τὸ ἔδαφος· ὁ δὲ Ἡσίοδος ἀμφοτέραις ταῖς χερσὶν εἰς τὸ οὖδας ῥίπτων*

22] Et. mag. v. *λάταξ· παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ στάζω, στὰξ καὶ λάταξ ἡ μεγάλη σταγών, Ἡσίοδος*

---

21 *Ἡσίοδος*] *Ἡλιόδωρος* Ruhnken, *Ἡρωδιανὸς* Hermann
22 *Ἡσίοδος*] *Ἡρωδιανός* Ruhnken

ΟΜΗΡΟΥ ΚΑΙ ΗΣΙΟΔΟΥ ΑΓΩΝ

NOTAE LIBRORUM

F = cod. Florentinus bibl. Laurentianae LVI 1 saec. XIV

* * *

A = lacinia papyri Flinders Petrie (tab. XXV ed. Mahaffy) saec. ut videtur III a. Chr.

ΠΕΡΙ ΟΜΗΡΟΥ ΚΑΙ ΗΣΙΟΔΟΥ ΚΑΙ ΤΟΥ ΓΕΝΟΥΣ ΚΑΙ ΑΓΩΝΟΣ ΑΥΤΩΝ

Ὅμηρον καὶ Ἡσίοδον τοὺς θειοτάτους ποιητὰς πάντες ἄνθρωποι πολίτας ἰδίους εὔχονται γενέσθαι. ἀλλ' Ἡσίοδος μὲν τὴν ἰδίαν ὀνομάσας πατρίδα πάντας τῆς φιλονεικίας ἀπήλλαξεν εἰπὼν ὡς ὁ πατὴρ αὐτοῦ

εἴσατο δ' ἄγχ' Ἑλικῶνος ὀιζυρῇ ἐνὶ κώμῃ
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.

Ὅμηρον δὲ πᾶσαι ὡς εἰπεῖν αἱ πόλεις καὶ οἱ ἄποικοι αὐτῶν παρ' ἑαυτοῖς γεγενῆσθαι λέγουσιν. καὶ πρῶτοί γε Σμυρναῖοι Μέλητος ὄντα τοῦ παρ' αὐτοῖς ποταμοῦ καὶ Κρηθηίδος νύμφης κεκλῆσθαί φασι πρότερον Μελησιγένη, ὕστερον μέντοι τυφλωθέντα Ὅμηρον μετονομασθῆναι διὰ τὴν παρ' αὐτοῖς ἐπὶ τῶν τοιούτων συνήθη προσηγορίαν. Χῖοι δὲ πάλιν τεκμήρια φέρουσιν ἴδιον εἶναι πολίτην λέγοντες καὶ περισῴζεσθαί τινας ἐκ τοῦ γένους αὐτοῦ παρ' αὐτοῖς Ὁμηρίδας καλου-

---

Versuum numeros editionis meae maioris in margine exteriore posui

2 *γενέσθαι* Barnes, *λέγεσθαι* F 5 *εἴσατο* F, corr. Stephanus, *νάσσατο* Hes. Op. 639 6 *οὐδέ*] *δέ* in ras. F 7 *ἄποικοι* Hermann, *ἔποικοι* F 8 *γεγεννῆσθαι* F 9 *γε* Stephanus, *τὲ* F 10 *Κρηθηίδος* cf. 25, *κρηιθίδος* F, *Κριθηίδος* Barnes 11 *μελησιγενῆ* F 15 *αὐτοῖς* F, corr. Westermann

μένους. Κολοφώνιοι δὲ καὶ τόπον δεικνύουσιν, ἐν ᾧ φασιν αὐτὸν γράμματα διδάσκοντα τῆς ποιήσεως ἄρξασθαι καὶ ποιῆσαι πρῶτον τὸν Μαργίτην.

περὶ δὲ τῶν γονέων αὐτοῦ πάλιν πολλὴ διαφωνία παρὰ πᾶσίν ἐστιν. Ἑλλάνικος μὲν γὰρ καὶ Κλεάνθης Μαίονα λέγουσιν, Εὐγαίων δὲ Μέλητα, Καλλικλῆς δὲ Μνασαγόραν, Δημόκριτος δὲ ὁ Τροιζήνιος Δαήμονα ἔμπορον, ἔνιοι δὲ Θαμύραν, Αἰγύπτιοι δὲ Μενέμαχον ἱερογραμματέα, εἰσὶ δέ, οἳ Τηλέμαχον τὸν Ὀδυσσέως· μητέρα δὲ οἱ μὲν Μῆτιν, οἱ δὲ Κρηθηίδα, οἱ δὲ Θεμίστην, οἱ δὲ Ὑρνηθώ, ἔνιοι δὲ Ἰθακησίαν τινὰ ὑπὸ Φοινίκων ἀπεμποληθεῖσαν, οἱ δὲ Καλλιόπην τὴν Μοῦσαν, τινὲς δὲ Πολυκάστην τὴν Νέστορος. ἐκαλεῖτο δὲ Μέλης, ὡς δέ τινές φασι, Μελησιγένης, ὡς δὲ ἔνιοι, Ἄλτης. ὀνομασθῆναι δὲ αὐτόν φασί τινες Ὅμηρον διὰ τὸ τὸν πατέρα αὐτοῦ ὅμηρον δοθῆναι ὑπὸ Κυπρίων Πέρσαις, οἱ δὲ διὰ τὴν πήρωσιν τῶν ὀμμάτων· παρὰ γὰρ τοῖς Αἰολεῦσιν οὕτως οἱ πηροὶ καλοῦνται. ὅπερ δὲ ἀκηκόαμεν ἐπὶ τοῦ θειοτάτου αὐτοκράτορος Ἀδριανοῦ εἰρημένον ὑπὸ τῆς Πυθίας περὶ Ὁμήρου, ἐκθησόμεθα. τοῦ γὰρ βασιλέως πυθομένου, πόθεν Ὅμηρος καὶ τίνος, ἀπεφοίβασε δι' ἑξαμέτρου τόνδε τὸν τρόπον·

---

21 *Μαίονα* Sturz, ///*αιονα* F   *εὐ*///*αίων* F, rest. Meineke   22 *Μνασαγόραν* Rohde, *μασαγόρ̣* (altera littera incerta) F, *Μασσαγόραν* Tzetzes Alleg. Hom. Iliad. 60, *Δμασαγόραν* Barnes, *Μαιαγόραν* Nietzsche   *Δημόκριτος*] *Δημήτριος* Wilamowitz   *ὁ* rest. Nietzsche, vocula evanuit in F   23 *Θαμύραν*] dimidium alterum litterae primae et prius litterae *α* evanida in F   24 ///*ρογραμματέα* F, cf. Tzetzes l. c. 61, rest. Nauck   *ὀδυ*///*σέως* F   25 ///*ρηθηίδα* F   *Θεμιστώ* Barnes   26 *Ὑρνηθώ* dubitans Westermann, *εὐγνηθώ* F (*Ὀρνιθοῦς* Tzetzes Alleg. Hom Iliad. 65)   29 *μελησιγενὴς* F   30 *Ἄλτης* e schol. Hom. *X* 51 Welcker, *αὐλητὴν* F, *Αὐλήτης* Boissonade, qui quae secuntur recte distinxit; post *φασί* et *Ὅμηρον* interpungit F   *δὲ* om. F, *δ'* Westermann   34 *ἀδιανοῦ* F, corr. apographum Stephani

ἄγνωστόν μ' ἔρεαι γενεὴν καὶ πατρίδα γαῖαν
ἀμβροσίου σειρῆνος. ἕδος δ' Ἰθακήσιός ἐστιν,
Τηλέμαχος δὲ πατὴρ καὶ Νεστορέη Ἐπικάστη
μήτηρ, ἥ μιν ἔτικτε βροτῶν πολὺ πάνσοφον ἄνδρα.

οἷς μάλιστα δεῖ πιστεύειν διά τε τὸν πυθόμενον καὶ τὸν ἀποκρινάμενον, ἄλλως τε οὕτως τοῦ ποιητοῦ μεγαλοφυῶς τὸν προπάτορα διὰ τῶν ἐπῶν δεδοξακότος.

ἔνιοι μὲν οὖν αὐτὸν προγενέστερον Ἡσιόδου φασὶν εἶναι, τινὲς δὲ νεώτερον καὶ συγγενῆ. γενεαλογοῦσι δὲ οὕτως· Ἀπόλλωνός φασι καὶ Αἰθούσης τῆς Ποσειδῶνος γενέσθαι Λίνον, Λίνου δὲ Πίερον, Πιέρου δὲ καὶ νύμφης Μεθώνης Οἴαγρον, Οἰάγρου δὲ καὶ Καλλιόπης Ὀρφέα, Ὀρφέως δὲ Δρῆν, ⟨τοῦ δὲ Εὐκλέα⟩, τοῦ δὲ Ἰαδμονίδην, τοῦ δὲ Φιλοτέρπην, τοῦ δὲ Εὔφημον, τοῦ δὲ Ἐπιφράδην, τοῦ δὲ Μελάνωπον, τούτου δὲ Δῖον καὶ Ἀπελλῆν, Δίου δὲ καὶ Πυκιμήδης τῆς Ἀπόλλωνος θυγατρὸς Ἡσίοδον καὶ Πέρσην· Ἀπελλοῦ δὲ Μαίονα, Μαίονος δὲ καὶ θυγατρὸς Μέλητος τοῦ ποταμοῦ Ὅμηρον.

τινὲς δὲ συνακμάσαι φασὶν αὐτοὺς ὥστε καὶ ἀγωνίσασθαι ὁμόσε ἐν Χαλκίδι τῆς Εὐβοίας. ποιήσαντα γὰρ τὸν Μαργίτην Ὅμηρον περιέρχεσθαι κατὰ πόλιν ῥαψῳδοῦντα, ἐλθόντα δὲ καὶ εἰς Δελφοὺς περὶ τῆς

---

40 *νεστορίη* F *Πολυκάστη* primitus scriptum fuisse suspicatur Nietzsche 46 *δὲ*] *δ'* Westermann, *τὲ* F 47 *Αἰθούσης* Charax ap. Suidam v. *Ὅμηρος*, *καὶ θοώσης* F 48 *λῖνον* F 50 *Δρῆν* e Charace Goettling, *ὄρτην* F, *Ὄθρυν* Barnes, *Ὄτρυν?* Welcker ⟨*τοῦ δὲ Εὐκλέα*⟩ e Charace Goettling 51 *Ἰαδμονίδην* coll. Herod. II 134 et Plut. Mor. p. 557 a Nietzsche, *ἁρμονίδην* F 53 *Ἀπελλῆν* Charax ap. Suidam, *Ἀπέλλαιον* F, *Ἀπέλλην* (*Ἀπελλέα?*) Nietzsche 54 *Ἀπέλλου* (*Ἀπελλέους?*) Nietzsche, *πέρσου* F, *Ἀπελλαίου* Sittl 55 *καὶ θυγατρὸς* Nietzsche, *θυγατρὸς καὶ* F 57 *ἐν Χαλκίδι τῆς Εὐβοίας* idem, *ἐν αὐλίδι τῆς βοιωτίας* F

πατρίδος αὐτοῦ πυνθάνεσθαι, τίς εἴη, τὴν δὲ Πυθίαν εἰπεῖν·

ἔστιν Ἴος νῆσος μητρὸς πατρίς, ἥ σε θανόντα
δέξεται· ἀλλὰ νέων παίδων αἴνιγμα φύλαξαι.

τὸν δὲ ἀκούσαντα περιίστασθαι μὲν τὴν εἰς Ἴον ἄφιξιν, διατρίβειν δὲ περὶ τὴν ἐκεῖ χώραν. κατὰ δὲ τὸν αὐτὸν χρόνον Γανύκτωρ ἐπιτάφιον τοῦ πατρὸς Ἀμφιδάμαντος βασιλέως Εὐβοίας ἐπιτελῶν πάντας τοὺς ἐπισήμους ἄνδρας οὐ μόνον ῥώμῃ καὶ τάχει, ἀλλὰ καὶ σοφίᾳ ἐπὶ τὸν ἀγῶνα μεγάλαις δωρεαῖς τιμῶν συνεκάλεσεν. καὶ οὗτοι οὖν ἐκ τύχης, ὥς φασι, συμβαλόντες ἀλλήλοις ἦλθον εἰς τὴν Χαλκίδα. τοῦ δὲ ἀγῶνος ἄλλοι τέ τινες τῶν ἐπισήμων Χαλκιδέων ἐκαθέζοντο κριταὶ καὶ μετ' αὐτῶν Πανήδης, ἀδελφὸς ὢν τοῦ τετελευτηκότος. ἀμφοτέρων δὲ τῶν ποιητῶν θαυμαστῶς ἀγωνισαμένων νικῆσαί φασι τὸν Ἡσίοδον τὸν τρόπον τοῦτον· προελθόντα γὰρ εἰς τὸ μέσον πυνθάνεσθαι τοῦ Ὁμήρου καθ' ἓν ἕκαστον, τὸν δὲ Ὅμηρον ἀποκρίνασθαι. φησὶν οὖν Ἡσίοδος·

υἱὲ Μέλητος, Ὅμηρε, θεῶν ἄπο μήδεα εἰδώς,
εἴπ' ἄγε μοι πάμπρωτα, τί φέρτατόν ἐστι βροτοῖσιν;

Ὅμηρος

ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀίδαο περῆσαι.

---

63 παίδων F Pausanias X 24, 2 Stephanus Byz. v. Ἴος Anth. Pal. XIV 65, ἀνδρῶν Pseudoplutarchus Vit. Hom. I 4 Proclus Chrest. (schol. Il. I p. XXXII D.) 66 Γανύκτωρ Pausanias, γαννύκτωρ F 73 Πανήδης ex papyri A col. I v. 4 (π>ANHΔOY) rest. Kirchhoff; πανοίδης F, Πανίδης Tzetzes, Πανείδης Hermann 81 ἀρχὴν A (AP<χην) F Stobaeus CXX 3, πάντων Theognis 425 82 ὅπως A Theognis Stobaeus, ὅμως F

Ἡσίοδος τὸ δεύτερον·

εἴπ' ἄγε μοι καὶ τοῦτο, θεοῖς ἐπιείκελ' Ὅμηρε,
τί θνητοῖς κάλλιστον ὀίεαι ἐν φρεσὶν εἶναι;

ὁ δέ·

ὁππότ' ἂν εὐφροσύνη μὲν ἔχῃ κάτα δῆμον ἅπαντα,
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
σίτου καὶ κρεέων, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσιν.
τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

ῥηθέντων δὲ τούτων τῶν ἐπῶν, οὕτω σφοδρῶς φασι θαυμασθῆναι ὑπὸ τῶν Ἑλλήνων τοὺς στίχους ὥστε χρυσοῦς αὐτοὺς προσαγορευθῆναι, καὶ ἔτι καὶ νῦν ἐν ταῖς κοιναῖς θυσίαις πρὸ τῶν δείπνων καὶ σπονδῶν προκατεύχεσθαι πάντας. ὁ δὲ Ἡσίοδος ἀχθεσθεὶς ἐπὶ τῇ Ὁμήρου εὐημερίᾳ ἐπὶ τὴν τῶν ἀπόρων ὥρμησεν ἐπερώτησιν καί φησι τούσδε τοὺς στίχους·

Μοῦσά γέ μοι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
τῶν μὲν μηδὲν ἄειδε, σὺ δ' ἄλλης μνῆσαι ἀοιδῆς.

ὁ δὲ Ὅμηρος βουλόμενος ἀκολούθως τὸ ἄπορον λῦσαι φησίν·

---

85 *τί θν*⟩ΗΤΟΙΣΚΑΛ⟨*λιστον* A, cf. v. 92 et quae dixi Wien. St. XIV 141, *τί θνητοῖσιν ἄριστον* F 87 sq. cf. Hom. *ι* 5 sq. *κάτα* Nietzsche, *κατὰ* F 90 *κρεέων* scripsi, *κρειῶν* F Homeri codd. 92 *εἴδεται*] · · · ЄΤΑΙ A 93 *τον*⟩ΤѠΝΤѠΝ A, *τῶν* F 94 *τους στι*⟩$\overset{\text{C}}{\text{XOY}}$ A, unde locum restitui, *τὰ ἔπη* F 98 *ἀπήρων* F, *ἀπό* apogr. Stephani in marg. *ἐπ' ἐρώτησιν* F 100 cf. Theog. 31 *Μοῦσά γέ μοι* i. e. *ἀείδει*, ΜΟΥCΑΓЄΜΟΙ A, *Μοῦσά γ' ἐμοὶ* Kirchhoff, *μοῦσ' ἄγε μοι* F, *Μοῦσ' ἅ γέ μοι* (i. e. *ἅ γέ μοι Μοῦσα ἀείδει, τά κτλ., τῶν μὲν μηδὲν ἄειδε*) Nietzsche, *Μοῦσα λέγει* Goettling ΠΡΟΤЄ⟨*οντα* A, *τ' ἐόντα* evanidum F 101 ΜΗΘЄΝ A

οὐδέ ποτ' ἀμφὶ Διὸς τύμβῳ καναχήποδες ἵπποι
ἅρματα συντρίψουσιν ἐρίζοντες περὶ νίκης.

καλῶς δὲ καὶ ἐν τούτοις ἀπαντήσαντος ἐπὶ τὰς ἀμφιβόλους γνώμας ὥρμησεν ὁ Ἡσίοδος, καὶ πλείονας στίχους λέγων ἠξίου καθ' ἕνα ἕκαστον συμφώνως ἀποκρίνασθαι τὸν Ὅμηρον. ἔστιν οὖν ὁ μὲν πρῶτος Ἡσιόδου, ὁ δὲ ἑξῆς Ὁμήρου, ἐνίοτε δὲ καὶ διὰ δύο στίχων τὴν ἐπερώτησιν ποιουμένου τοῦ Ἡσιόδου·

Ἡσίοδος

δεῖπνον ἔπειθ' εἵλοντο βοῶν κρέα καὐχένας ἵππων

Ὅμηρος

ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμοιο κορέσθην.

Ἡσίοδος

καὶ Φρύγες, οἳ πάντων ἀνδρῶν ἐπὶ νηυσὶν ἄριστοι

Ὅμηρος

ἀνδράσι ληιστῆρσιν ἐπ' ἀκτῆς δόρπον ἑλέσθαι.

Ἡσίοδος

χερσὶ βαλέων ἰοὺς οὔλων κατὰ φῦλα γιγάντων

Ὅμηρος

Ἡρακλέης ἀπέλυσεν ἀπ' ὤμων καμπύλα τόξα.

---

104 *τύμβῳ* F Plutarchus Mor. 153 f, ΤΥΜΒΟΝ A (duplicem antiquitus lectionem extitisse suspicatus sum) *καναχήποδες ἵπποι* A (ΚΑΝ⟨*αχηποδες ιπ*⟩ΠΟΙ) Plutarchus, verba interciderunt in F 105 *ἐρίζοντες* A (*ερι*⟩ΖΟΝΤΕC) F, *ἐπειγόμενοι* Plutarchus 112 sqq. *Ἡσίοδος* et *Ὅμηρος* indices om. F 112 *δεῖπνον — εἵλοντο*] *ὣς οἳ μὲν δαίνυντο* Aristophanes Pac. 1282 113 *πολέμοιο* Stephanus, *πτολέμου* F, *πολέμου* Aristophanes *κορέσθην* F, *κόρεσθεν* Hermann, (*πολέμου*) *ἐκόρεσθεν* Aristophanes 115 *ἐπ' ἀκτὴν δοῦλοι ἕπεσθαι*? Nietzsche 116 post 117 legitur in F, transposuit Nietzsche *βαλέων* Goettling, *βαλὼν* F *ἰοὺς* Nietzsche, *ἰοῖσιν* F *οὔλων* scripsi, *ὄλλων* F, *ὠμῶν*? Nietzsche 117 *ἡρακλῆς* F

Ἡσίοδος

οὗτος ἀνὴρ ἀνδρός τ' ἀγαθοῦ καὶ ἀνάλκιδός ἐστι

Ὅμηρος

μητρός, ἐπεὶ πόλεμος χαλεπὸς πάσῃσι γυναιξίν.

Ἡσίοδος

αὐτὰρ σοί γε πατὴρ ἐμίγη καὶ πότνια μήτηρ

Ὅμηρος

σῶμα τό γε σπείραντε διὰ χρυσέην Ἀφροδίτην.

Ἡσίοδος

αὐτὰρ ἐπεὶ δμήθη γάμῳ Ἄρτεμις ἰοχέαιρα

Ὅμηρος

Καλλιστὼ κατέπεφνεν ἀπ' ἀργυρέοιο βιοῖο.

Ἡσίοδος

ὣς οἳ μὲν δαίνυντο πανήμεροι, οὐδὲν ἔχοντες

Ὅμηρος

οἴκοθεν, ἀλλὰ παρεῖχεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.

Ἡσίοδος

δεῖπνον δειπνήσαντες ἐνὶ σποδῷ αἰθαλοέσσῃ
σύλλεγον ὀστέα λευκὰ Διὸς κατατεθνηῶτος

Ὅμηρος

παιδὸς ὑπερθύμου Σαρπηδόνος ἀντιθέοιο.

Ἡσίοδος

ἡμεῖς δ' ἂμ πεδίον Σιμοέντιον ἥμενοι αὔτως
ἴομεν ἐκ νηῶν ὁδὸν ἀμφ' ὤμοισιν ἔχοντες

---

120 αὐτὰρ Ludwich, οὔτ' ἂρ F, οὔτ' ἄρα Goettling, εὖτ' ἄρα (σοί 'nomin. plur.') idem dubitans, ἦ τ' ἄρα Hermann ἐμίγη F, (εὖτ' ἄρα σοὶ) ἔμιγεν Goettling 121 τόγε (vel τόδε) σπείραντε Boissonade, τό γ' ἐσπείραντο F, τότε σπείραντε Hermann, τόδε σπείραντο Goettling χρυσῆν F 123 βιοι F 127 κατατεθνειῶτος F, corr. Goettling 129 σιμοούντιον F αὔτως Westermann, οὕτως F

Ὅμηρος

φάσγανα κωπήεντα καὶ αἰγανέας δολιχαύλους.

Ἡσίοδος

δὴ τότ' ἀριστῆες κοῦροι χείρεσσι θαλάσσης

Ὅμηρος

ἄσμενοι ἐσσυμένως τε ἀπείρυσαν ὠκύαλον ναῦν.

Ἡσίοδος

Κολχίδ' ἔπειτ' ἤγοντο καὶ Αἰήτην βασιλῆα

Ὅμηρος

φεῦγον, ἐπεὶ γίγνωσκον ἀνέστιον ἠδ' ἀθέμιστον.

Ἡσίοδος

αὐτὰρ ἐπεὶ σπεῖσάν τε καὶ ἔκπιον οἶδμα θαλάσσης

Ὅμηρος

ποντοπορεῖν ἤμελλον ἐυσσέλμων ἐπὶ νηῶν.

Ἡσίοδος

τοῖσιν δ' Ἀτρεΐδης μεγάλ' εὔχετο πᾶσιν ὀλέσθαι
μηδέ ποτ' ἐν πόντῳ, καὶ φωνήσας ἔπος ηὔδα·
ἐσθίετ', ὦ ξεῖνοι, καὶ πίνετε· μηδέ τις ὑμέων
οἴκαδε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν

Ὅμηρος

πημανθείς, ἀλλ' αὖτις ἀπήμονες οἴκαδ' ἵκοισθε.

πρὸς πάντα δὲ τοῦ Ὁμήρου καλῶς ἀπαντήσαντος πάλιν φησὶν ὁ Ἡσίοδος·

---

132 *ἀριστή* F, corr. apogr. Stephani 133 *τε ἀπείρυσαν* F, *τ' ἀποείρυσαν* Barnes *ναῦν* F, *νηῦν* vel *νέα* restituendum esse censui 134 sq. *ἐπεί θ' ἵκοντο* scribens inter se transposuit Nietzsche 134 *ἔπειτ' ἤγοντο* (*Μήδειαν*) Wilamowitz, *ἔπειθ' ἵκοντο* F 137 *ἐυσέλμων* F 138 *τοῖσι* F 140 *ὑμῶν* F 138 sq. Hesiodo, 140—142 Homero tribuit Hermann, v. 138, 140 sq. Hesiodo, 139 Homero Goettling 142 *αὖθις* F 143 *ταῦτα δὲ πάντα* Barnes

τοῦτό τι δή μοι μοῦνον ἐειρομένῳ κατάλεξον,
πόσσοι ἅμ' Ἀτρεΐδῃσιν ἐς Ἴλιον ἦλθον Ἀχαιοί;

ὁ δὲ διὰ λογιστικοῦ προβλήματος ἀποκρίνεται οὕτως·

πεντήκοντ' ἦσαν πυρὸς ἐσχάραι, ἐν δὲ ἑκάστῃ
πεντήκοντ' ὀβελοί, περὶ δὲ κρέα πεντήκοντα·
τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας ἦσαν Ἀχαιοί.

τοῦτο δὲ εὑρίσκεται πλῆθος ἄπιστον· τῶν γὰρ ἐσχαρῶν οὐσῶν πεντήκοντα, ὀβελίσκοι γίνονται πεντακόσιοι καὶ χιλιάδες β', κρεῶν δὲ δεκαδύο μυριάδες, ͵ε ... κατὰ πάντα δὴ τοῦ Ὁμήρου ὑπερτεροῦντος φθονῶν ὁ Ἡσίοδος ἄρχεται πάλιν·

υἱὲ Μέλητος Ὅμηρ', εἴ περ τιμῶσί σε Μοῦσαι,
ὡς λόγος, ὑψίστοιο Διὸς μεγάλοιο θύγατρες,
λέξον μέτρον ἐναρμόζων, ὅ τι δὴ θνητοῖσι
κάλλιστόν τε καὶ ἔχθιστον· ποθέω γὰρ ἀκοῦσαι.

ὁ δέ φησι·

Ἡσίοδ', ἔκγονε Δίου, ἑκόντα με ταῦτα κελεύεις
εἰπέμεν· αὐτὰρ ἐγὼ μάλα τοι πρόφρων ἀγορεύσω.
κάλλιστον μὲν τῶν ἀγαθῶν ἔσται μέτρον εἶναι
αὐτὸν ἑαυτῷ· τῶν δὲ κακῶν ἔχθιστον ἁπάντων

* * * *

147 *ὁ δὲ Ὅμηρος* Barnes 153 post *μυριάδες* in F *͵ευν̄* legitur; *ε* lacunae signo adiecto Westermann, *πεντακισχίλιοι τετρακόσιοι καὶ πεντήκοντα* Barnes, *ἀνδρῶν δὲ διπλῆ μυριὰς μία καὶ ἁπλαῖ χίλιαι διακόσιαι πεντήκοντα* Hermann, *ἀνδρῶν* vel *Ἀχαιῶν δὲ μυριάδες ͵ια σν'* Westermann; *εὖ* in *ευν* latere ratus *εὖ δὴ κατὰ πάντα* coniecit Nietzsche 157 *ὑψίστοι* F, corr. apogr. Stephani 158 *μέτρῳ* Barnes *ἐναρμόζον* F, corr. Boissonade 159 *τε* om. F *ποθέω*] *θέω* F, corr. marg. apogr. Stephani 162 *εἰπέμεν* Barnes, *εἰπεῖν* F 164 *ἔχθιστ*^{o} F post 164 deest versus, lacunae signum posuit Nietzsche

ἄλλο δὲ πᾶν, ὅ τι σῷ θυμῷ φίλον ἐστίν, ἐρώτα.

Ἡσίοδος

πῶς ἂν ἄριστ' οἰκοῖντο πόλεις καὶ ἐν ἤθεσι ποίοις;

Ὅμηρος

εἰ μὴ κερδαίνειν ἀπὸ τῶν αἰσχρῶν ἐθέλοιεν,
οἱ δ' ἀγαθοὶ τιμῷντο, δίκη δ' ἀδίκοισιν ἐπείη.

Ἡσίοδος

εὔχεσθαι δὲ θεοῖσι τί πάντων ἐστὶν ἄμεινον;

Ὅμηρος

εὔνομον εἶναι ἑῷ θυμῷ χρόνον ἐς τὸν ἅπαντα.

Ἡσίοδος

ἐν δ' ἐλαχίστῳ ἄριστον ἔχεις ὅ τι φύεται εἰπεῖν;

Ὅμηρος

ὡς μὲν ἐμῇ γνώμῃ, φρένες ἐσθλαὶ σώμασιν ἀνδρῶν.

Ἡσίοδος

ἡ δὲ δικαιοσύνη τε καὶ ἀνδρείη δύναται τί;

Ὅμηρος

κοινὰς ὠφελίας ἰδίοις μόχθοισι πορίζειν.

Ἡσίοδος

τῆς σοφίης δὲ τί τέκμαρ ἐπ' ἀνθρώποισι πέφυκεν;

Ὅμηρος

γιγνώσκειν τὰ παρόντ' ὀρθῶς, καιρῷ δ' ἅμ' ἕπεσθαι.

---

165 *τῷ* Boissonade 168 *τιμοῖντο* F 169 *θεοῖσι τί* Rohde, *θεοῖς ὅτι* F 170 *εὔνομον* conieci, *εὔνουν* F, *εὔνους* Nietzsche *ἑῷ θυμῷ* (de deorum animis intellegens) Nietzsche, de homine accipio; *ἑαυτῷ* F 171 *ἔχεις* Hutchinson, *ἔχειν σ'* F 172 *ἐμὴ γνώμη* malit Westermann 173 *ἀνδρία* F 174 *ὠφελείας* F, corr. marg. apographi 176 *γινώσκειν* F

Ἡσίοδος

πιστεῦσαι δὲ βροτοῖς ποῖον χρέος ἄξιόν ἐστιν;

Ὅμηρος

οἷς αὐτὸς κίνδυνος ἐπὶ πραχθεῖσιν ἕπηται.

Ἡσίοδος

ἡ δ' εὐδαιμονίη τί ποτ' ἀνθρώποισι καλεῖται;

Ὅμηρος

λυπηθέντ' ἐλάχιστα θανεῖν ἡσθέντα τε πλεῖστα.

ῥηθέντων δὲ καὶ τούτων, οἱ μὲν Ἕλληνες πάντες τὸν Ὅμηρον ἐκέλευον στεφανοῦν, ὁ δὲ βασιλεὺς Πανήδης ἐκέλευσεν ἕκαστον τὸ κάλλιστον ἐκ τῶν ἰδίων ποιημάτων εἰπεῖν. Ἡσίοδος οὖν ἔφη πρῶτος·

Πληιάδων Ἀτλαγενέων ἐπιτελλομενάων
ἄρχεσθ' ἀμήτου, ἀρότοιό τε δυσομενάων·
αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
φαίνονται, τὰ πρῶτα χαρασσομένοιο σιδήρου.
οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα
πόντου κυμαίνοντος ἀπόπροθι πίονα χῶρον
ναίουσιν· γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν
γυμνόν τ' ἀμάειν, ὅτ' ἂν ὥρια πάντα πέλωνται.

---

177 βροτοῖσι F, corr. Barnes βροτῶν ποίοις suspicatur Nietzsche 178 αὐτὸς] οὔ τις Nietzsche 180 τε om. F 182 Πανήδης cf. ad 73; πανοίδης F, Πανείδης Hermann 186 ἀμητοῖο F, an ἀμήτοι'? τε] δὲ Hes. Op. 384 188 αὖθις F 191 τ' ἄγκεα Hes. Op. 391, δ' ἄγγεα F 193 ναίουσι F 194 γυμνούς θ' ἀμάειν F, γυμνὸν δ' ἀμάειν Hes. Op. 392 εἴ χ' ὥρια πάντ' ἐθέλησθα | ἔργα κομίζεσθαι Δημήτερος Hes. Op. 392 sq.

μεθ' ὃν Ὅμηρος·

ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
καρτεραί, ἃς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθὼν
οὔτε κ' Ἀθηναίη λαοσσόος. οἱ γὰρ ἄριστοι
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον
φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ·
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ,
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.
ἔφριξεν δὲ μάχη φθεισίμβροτος ἐγχείῃσι
μακραῖς, ἃς εἶχον ταμεσίχροας. ὄσσε δ' ἄμερδεν
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδις. μάλα κεν θρασυκάρδιος εἴη,
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ' ἀκάχοιτο.

θαυμάσαντες δὲ καὶ ἐν τούτῳ τὸν Ὅμηρον οἱ Ἕλληνες ἐπῄνουν, ὡς παρὰ τὸ προσῆκον γεγονότων τῶν ἐπῶν, καὶ ἐκέλευον διδόναι τὴν νίκην. ὁ δὲ βασιλεὺς τὸν Ἡσίοδον ἐστεφάνωσεν εἰπὼν δίκαιον εἶναι τὸν ἐπὶ γεωργίαν καὶ εἰρήνην προκαλούμενον νικᾶν, οὐ τὸν πολέμους καὶ σφαγὰς διεξιόντα. τῆς μὲν οὖν νίκης οὕτω φασὶ τυχεῖν τὸν Ἡσίοδον καὶ λαβόντα τρίποδα χαλκοῦν ἀναθεῖναι ταῖς Μούσαις ἐπιγράψαντα·

Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ' ἀνέθηκεν
ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.

τοῦ δὲ ἀγῶνος διαλυθέντος διέπλευσεν ὁ Ἡσίοδος

196—209 ex Hom. *N* 126—133 et 339—344 199 κριθέντες F 201 ἀσπὶς δ' ἄρ' F 204 φθισίμβροτος F 205 μακραῖς F, μακρῆς Hom. *N* 340 218 Μούσῃς suspicatus sum ἀνέθηκα Anth. Pal. VII 53, cf. Hes. Op. 658

εἰς Δελφοὺς χρησόμενος καὶ τῆς νίκης ἀπαρχὰς τῷ θεῷ ἀναθήσων. προσερχομένου δὲ αὐτοῦ τῷ ναῷ ἔνθεον γενομένην τὴν προφῆτίν φασιν εἰπεῖν·

ὄλβιος οὗτος ἀνήρ, ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος Μούσῃσι τετιμένος ἀθανάτῃσιν·
τοῦ δ' ἦ τοι κλέος ἔσται, ὅσον τ' ἐπικίδναται ἠώς.
ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·
κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

ὁ δὲ Ἡσίοδος ἀκούσας τοῦ χρησμοῦ, τῆς Πελοποννήσου μὲν ἀνεχώρει νομίσας τὴν ἐκεῖ Νεμέαν τὸν θεὸν λέγειν, εἰς δὲ Οἰνόην τῆς Λοκρίδος ἐλθὼν καταλύει παρ' Ἀμφιφάνει καὶ Γανύκτορι, τοῖς Φηγέως παισίν, ἀγνοήσας τὸ μαντεῖον. ὁ γὰρ τόπος οὗτος ἅπας ἐκαλεῖτο Διὸς Νεμείου ἱερόν. διατριβῆς δὲ αὐτῷ πλείονος γενομένης ἐν τοῖς Οἰνοεῦσιν ὑπονοήσαντες οἱ νεανίσκοι τὴν ἀδελφὴν αὐτῶν μοιχεύειν τὸν Ἡσίοδον, ἀποκτείναντες εἰς τὸ μεταξὺ τῆς Ἀχαΐας καὶ τῆς Λοκρίδος πέλαγος κατεπόντισαν. τοῦ δὲ νεκροῦ τριταίου πρὸς τὴν γῆν ὑπὸ δελφίνων προσενεχθέντος ἑορτῆς τινος ἐπιχωρίου παρ' αὐτοῖς οὔσης Ἀριαδνείας πάντες ἐπὶ τὸν αἰγιαλὸν ἔδραμον καὶ τὸ σῶμα γνωρίσαντες ἐκεῖνο μὲν πενθήσαντες ἔθαψαν, τοὺς δὲ φονεῖς ἀνεζήτουν.

---

225 *Μούσαις τετιμημένος* Tzetzae Vit. Hes. 96 codd. pars 226 *ὅσην* F 227 *κάλλιμον* F (μ e ς corr.) 228 *κεῖθι δέ τοι* F, *'κεῖ γάρ τοι* cod. P Tzetzae (quod in *κεῖ γάρ τοι* mutavit Westermann), *καὶ γάρ τοι* codd. cett. Tzetzae 231 *Οἰνεῶνα* Westermann *παρὰ* F 234 *νεμίου* F *δὲ*] *δ'* F 235 *Οἰνοεῦσιν* Friedel, *Οἰνεωνεῖσιν* Sauppe, *οἰνῶσιν* F, *Οἰνεῶσιν* Goettling, *ἐν τῷ Οἰνεῶνι* Westermann 237 *Ἀχαΐας* Westermann, *Εὐβοίας* F Tzetzes Vita Hes. 106, *Μολυκρίας* Goettling, *Βοιωτίας* Nietzsche, *τῆς Βολίνας* (vel *Εὐπαλίας*) *καὶ τῆς Μολυκρίας* primitus scriptum fuisse censuit Nietzsche 240 *Ἀριαδνείας* sine accentu F, *Ῥίου ἁγνείας* Nietzsche

οἱ δὲ φοβηθέντες τὴν τῶν πολιτῶν ὀργὴν κατασπάσαντες ἁλιευτικὸν σκάφος διέπλευσαν εἰς Κρήτην. οὓς κατὰ μέσον τὸν πλοῦν ὁ Ζεὺς κεραυνώσας κατεπόντωσεν, ὥς φησιν Ἀλκιδάμας ἐν Μουσείῳ. Ἐρατοσθένης δέ φησιν ἐν Ἡσιόδῳ Κτίμενον καὶ Ἄντιφον τοὺς Γανύκτορος ἐπὶ τῇ προειρημένῃ αἰτίᾳ ἐναλόντας σφαγιασθῆναι θεοῖς ⟨τοῖς⟩ ξενίοις ὑπ' Εὐρυκλέους τοῦ μάντεως. τὴν μέντοι παρθένον, τὴν ἀδελφὴν τῶν προειρημένων, μετὰ τὴν φθορὰν ἑαυτὴν ἀναρτῆσαι, φθαρῆναι δὲ ὑπό τινος ξένου συνόδου τοῦ Ἡσίοδου δημώδους, ⟨Τρωίλου⟩ ὄνομα· ὃν καὶ αὐτὸν ἀναιρεθῆναι ὑπὸ τῶν αὐτῶν φησιν. ὕστερον δὲ Ὀρχομένιοι κατὰ χρησμὸν μετενέγκαντες αὐτὸν παρ' αὐτοῖς ἔθαψαν καὶ ἐπέγραψαν ἐπὶ τῷ τάφῳ·

Ἄσκρη μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος
ὀστέα πλήξιππος γῆ Μινυὰς κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν
ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

καὶ περὶ μὲν Ἡσιόδου τοσαῦτα· ὁ δὲ Ὅμηρος ἀποτυχὼν τῆς νίκης περιερχόμενος ἔλεγε τὰ ποιήματα, πρῶτον μὲν τὴν Θηβαΐδα, ἔπη ͵ζ, ἧς ἡ ἀρχή·

Ἄργος ἄειδε, θεά, πολυδίψιον, ἔνθεν ἄνακτες·

---

247 *Ἡσιόδῳ* Goettling, *ἐνηπόδῳ* F 248 *γαννύκτορος* F *ἐναλόντας* Friedel, *ἀνελόντας* F 249 ⟨*τοῖς*⟩ Bernhardy, om. F *ὑπὸ* F 253 *δημώδους* ⟨*Τρωίλου*⟩] coll. Plutarch. Mor. p. 162 d Nietzsche, *δημώδους* F, *Δημωνίδου* Sittl 258 *πλήξιππος — Μινυὰς* scripsi, *πληξίππων γῆ Μινυὰς* F Pseudaristoteles Pepl. 19, *πληξίππου γῆ Μινύη* Tzetzes Vita Hes., *πληξίππων γῆ Μινυῶν* Pausanias IX 38, 4 Anthol. Pal. VII 54, 2 259 *ἐν — ἐστὶν* F Anthologia Tzetzes, *ἐν Ἑλλάδι κῦδος ὀρεῖται* Pausanias 260 *βασάνοις* Tzetzes 263 ͵*ζ* Hermann, *ζ̄* F

εἶτα Ἐπιγόνους, ἔπη ͵ζ, ὧν ἡ ἀρχή·

νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα, Μοῦσαι.

φασὶ γάρ τινες καὶ ταῦτα Ὁμήρου εἶναι. ἀκούσαντες δὲ τῶν ἐπῶν οἱ Μίδου τοῦ βασιλέως παῖδες, Ξάνθος καὶ Γόργος, παρακαλοῦσιν αὐτὸν ἐπίγραμμα ποιῆσαι ἐπὶ τοῦ τάφου τοῦ πατρὸς αὐτῶν, ἐφ' οὗ ἦν παρθένος χαλκῆ τὸν Μίδου θάνατον οἰκτιζομένη. καὶ ποιεῖ οὕτως·

χαλκέη παρθένος εἰμί, Μίδεω δ' ἐπὶ σήματος ἧμαι.
ἔς τ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ
καὶ ποταμοὶ πλήθωσι, περικλύζῃ δὲ θάλασσα,
ἠέλιος δ' ἀνιὼν φαίνῃ λαμπρά τε σελήνη,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ
σημανέω παριοῦσι, Μίδης ὅτι τῇδε τέθαπται.

---

265 Ἐπιγόνους Barnes, ἐπειγομένου F ͵ζ Hermann, ζ̄ F 271. 272 καὶ ποιεῖ οὕτως in marg. habet F 273 χαλκῆ F scriptores cett. Μίδεω Pseudoherodoti Vitae Hom. p. 5 W. cod. B, Μίδου F Pseudoherodoti codd. ceteri Philoponus in Aristot. Anal. post. 34 b, Μίδα Plato Phaedr. p. 264 C Laert. Diogenes I 6, 89 Incert. auctor or. Cor. ('Dio') XXXVII 38 Anthologia ἐπὶ σήματος ἧμαι F, ἐπὶ σήματι κεῖμαι scriptores cett. 274 ἔς τ' F Incert. auctor or. Cor. Pseudoherodoti Vita Hom. Laertius Diogenes Anth. Pal. auctor περὶ ὕψ. 36, 2, εὖτ' Anth. Plan., ὄφρ' Plato Libanius I 519, 17 R. νάῃ F Plato Sextus Empir. Pyrrh. II 37 Libanius Anth., ῥέῃ Incert. auctoris or. Cor. codd. (νάῃ Emperius) Laertius Diogenes Pseudoher. Vita Hom. (ῥέοι pars codd.) auctor περὶ ὕψ. Sextus Empir. adv. math. VIII 184 τεθήλοι Pseudoherodoti Vitae codd. pars maior 275 sq. om. Plato Incert. auctor or. Cor. Anth., inverso ordine dispositos habet Laertius Diogenes 275 om. Pseudoher. Vita πλήθωσι] ῥέωσιν Laertii Diogenis codd. PB (ῥείωσιν Röper) ἀνακλύζῃ Laertius Diogenes 276 φαίνῃ F, λάμπῃ scriptores cett. λαμπρῇ Goettling, sed. cf. ad Theog. 19 277 πολυκλαύτῳ ἐπὶ τύμβῳ F Incert. auctor or. Cor. Anth. Pal. Laertii Diogenis codd. PB Suidas v. αὐτοῦ, πολυκλαύστῳ ἐπὶ τύμβῳ Anth. Plan., πολυκλαύτου ἐπὶ τύμβου Plato Pseudoher. Vita 278 σημανέω F, ἀγγελέω scriptores cett.

λαβὼν δὲ παρ' αὐτῶν φιάλην ἀργυρᾶν ἀνατίθησιν ἐν Δελφοῖς τῷ Ἀπόλλωνι, ἐπιγράψας·

Φοῖβε ἄναξ, δῶρόν τοι Ὅμηρος καλὸν ἔδωκα
σῇσιν ἐπιφροσύναις· σὺ δέ μοι κλέος αἰὲν ὀπάζοις.

μετὰ δὲ ταῦτα ποιεῖ τὴν Ὀδύσσειαν, ἔπη Μ͵β′, πεποιηκὼς ἤδη τὴν Ἰλιάδα ἐπῶν Μ͵εφ′. παραγενόμενον δὲ ἐκεῖθεν εἰς Ἀθήνας αὐτὸν ξενισθῆναί φασι παρὰ Μέδοντι τῷ βασιλεῖ τῶν Ἀθηναίων. ἐν δὲ τῷ βουλευτηρίῳ ψύχους ὄντος καὶ πυρὸς καιομένου σχεδιάσαι λέγεται τούσδε τοὺς στίχους·

ἀνδρὸς μὲν στέφανοι παῖδες, πύργοι δὲ πόληος,
ἵπποι δ' αὖ πεδίου κόσμος, νῆες δὲ θαλάσσης,
⟨χρήματα δ' οἶκον ἀέξει· ἀτὰρ γεραροὶ βασιλῆες⟩
λαοῖς εἰν ἀγορῇσι καθήμενοι εἰσοράασθαι.
αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι
ἤματι χειμερίῳ, ὁπότ' ἂν νείφῃσι Κρονίων.

ἐκεῖθεν δὲ παραγενόμενος εἰς Κόρινθον, ἐρραψῴδει τὰ ποιήματα. τιμηθεὶς δὲ μεγάλως παραγίνεται εἰς Ἄργος καὶ λέγει ἐκ τῆς Ἰλιάδος τὰ ἔπη τάδε·

---

281 τόδ' Barnes ἑλὼν τόδ' Ὅμηρος Tzetzes 282 σῇσιν ἐπιφροσύνῃς Menrad, σῆς ὑποφραδμοσύναις Barnes αἰὲν] ἐσθλὸν Tzetzes 283 Μ͵β′ Nietzsche, μβφ (β m^1 ex ι corr.?) F 284 Μ͵εφ′ Nietzsche, με F 289 στέφανοι παῖδες F, στέφανος παῖδες Pseudoher. Vita p. 15 W., παῖδες στέφανος Suidas 290 δ' ἐν πεδίῳ Pseudoher. Vita Suidas; post hunc versum aliquid excidisse e Pseudoher. Vita Hom. p. 16 W. vidit Barnes; e Vitae versibus χρήματα δ' αὔξει οἶκον, ἀτὰρ γεραροὶ βασιλῆες | ἥμενοι εἰν ἀγορῇ κόσμος λαοῖσιν (sic Nietzsche pro 'κόσμος τ' ἄλλοισιν') ὁρᾶσθαι Nietzsche versum huius modi composuit: θήματα δ' αὔξει οἶκον, ἀτὰρ γεραροὶ (sive κόσμος) βασιλῆες; οἶκον ἀέξει volgo legebatur 292 λαοῖς Nietzsche, λαὸς δ' F καθήμενοι rest. Nietzsche, καθήμενος F 294 νίφησι F

οἵ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε τειχιόεσσαν
Ἑρμιόνην τ' Ἀσίνην τε, βαθὺν κατὰ κόλπον ἐχούσας,
Τροιζῆν' Ἠιόνας τε καὶ ἀμπελόεντ' Ἐπίδαυρον
νῆσόν τ' Αἴγιναν Μάσητά τε κοῦροι Ἀχαιῶν,
τῶν αὖθ' ἡγεμόνευε βοὴν ἀγαθὸς Διομήδης
Τυδεΐδης, οὗ πατρὸς ἔχων μένος Οἰνεΐδαο,
καὶ Σθένελος, Καπανῆος ἀγακλειτοῦ φίλος υἱός·
τοῖσι δ' ἅμ' Εὐρύπυλος τρίτατος κίεν, ἰσόθεος φώς,
Μηκιστέος υἱὸς Ταλαϊονίδαο ἄνακτος.
ἐκ πάντων δ' ἡγεῖτο βοὴν ἀγαθὸς Διομήδης.
τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο·
ἐν δ' ἄνδρες πολέμοιο δαήμονες ἐστιχόωντο
Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο.

τῶν δὲ Ἀργείων οἱ προεστηκότες ὑπερβολῇ χαρέντες ἐπὶ τῷ ἐγκωμιάζεσθαι τὸ γένος αὐτῶν ὑπὸ τοῦ ἐνδοξοτάτου τῶν ποιητῶν, αὐτὸν μὲν πολυτελέσι δωρεαῖς ἐτίμησαν, εἰκόνα δὲ χαλκῆν ἀναστήσαντες ἐψηφίσαντο θυσίαν ἐπιτελεῖν Ὁμήρῳ καθ' ἡμέραν καὶ κατὰ μῆνα καὶ κατ' ἐνιαυτὸν ⟨καὶ⟩ ἄλλην θυσίαν πενταετηρίδα εἰς Χίον ἀποστέλλειν. ἐπιγράφουσι δὲ ἐπὶ τῆς εἰκόνος αὐτοῦ·

θεῖος Ὅμηρος ὅδ' ἐστίν, ὃς Ἑλλάδα τὴν μεγάλαυχον
πᾶσαν ἐκόσμησεν καλλιεπεῖ σοφίῃ,

---

299 *τ'* om. Hom. *B* 560 *ἀσί///ην* (*ν* erasum) F 301 *νῆσόν τ'*] *οἵ τ' ἔχον* Hom. *B* 562, sed cf. Fr. 96, 7 Strabo VIII 375, 16 *Αἴγιναν* Hom. l. c., *αἴγινάν τε* F 303 non legitur in Homero (post *B* 563) 305 *Εὐρύαλος* ex Hom. *B* 565 Barnes 306 *Μηκιστέος* dedi ex Hom. *B* 566, *μηκιστέως* F 307 *συμπάντων* Hom. *B* 567 309 sq. non reperiuntur in Hom. 316 ⟨*καὶ*⟩ *ἄλλην* (vel *ἄλλην* ⟨*δὲ*⟩) Boissonade, *καὶ* om. F 317 *ἐσχίον* F *εἰκόνος*] *εἰκό* F 319 *μεγάλαυχον* Barnes, *μεγαλαύχην* F 320 *καλλιεπεῖ σοφίῃ* Stephanus in marg. apographi, *καλλιεπίηι σοφίηι τε* F

ἔξοχα δ' Ἀργεΐους, οἳ τὴν θεοτειχέα Τροίην
ἤρειψαν ποινὴν ἠυκόμου Ἑλένης.
οὗ χάριν ἔστησεν δῆμος μεγαλόπτολις αὐτὸν
ἐνθάδε καὶ τιμαῖς ἀμφέπει ἀθανάτων.

ἐνδιατρίψας δὲ τῇ πόλει χρόνον τινὰ διέπλευσεν εἰς Δῆλον εἰς τὴν πανήγυριν. καὶ σταθεὶς ἐπὶ τὸν κεράτινον βωμὸν λέγει ὕμνον εἰς Ἀπόλλωνα, οὗ ἡ ἀρχή·

μνήσομαι οὐδὲ λάθωμαι Ἀπόλλωνος ἑκάτοιο.

ῥηθέντος δὲ τοῦ ὕμνου οἱ μὲν Ἴωνες πολίτην αὐτὸν κοινὸν ἐποιήσαντο, Δήλιοι δὲ γράψαντες τὰ ἔπη εἰς λεύκωμα ἀνέθηκαν ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ. τῆς δὲ πανηγύρεως λυθείσης ὁ ποιητὴς εἰς Ἴον ἔπλευσε πρὸς Κρεώφυλον κἀκεῖ χρόνον διέτριβε πρεσβύτης ὢν ἤδη. ἐπὶ δὲ τῆς θαλάσσης καθήμενος παίδων τινῶν ἀφ' ἁλείας ἐρχομένων, ὥς φασι, πυθόμενος

ἄνδρες ἀπ' Ἀρκαδίης θηρήτορες, ἦ ῥ' ἔχομέν τι;

εἰπόντων δὲ ἐκείνων·

ὅσσ' ἕλομεν λιπόμεσθα, ὅσ' οὐχ ἕλομεν φερόμεσθα,

---

322 ποινὴν Barnes, ποινῆς F 323 ἔστησε F μεγαλόπολις F, πτ superscr. in apographo Stephani 326 κερατίνον F 333 κρεόφυλον F 336 ἀπ' Ἀρκαδίης F testes, ἀπ' Ὀρτυγίης? ἄγρης ἁλίης Koechly θηρήτορες F Proclus, ἁλιήτορες Vitae Hom. IV p. 28 W. et V p. 30 W. Tzetzes Exeg. Iliad. 37, 18 ἦρ' ἔχομέν τι F, ἆρ' ἔχομέν τι Proclus Chrest. I p. XXXII 22 D. 338 ἅσσ' Pseudoherodoti Vita p. 18 W. Suidas v. Ὅμηρος, οὓς Proclus Vitae IV. codd. MR λιπόμεσθα, ὅσ' οὐχ Vitae V. codd. CM, λ>ιπόμεσθα, ὅσσ' οὐκ Epigr. ed. Kaibel 1105, λιπόμεθα, ὅσ' οὐχ F, λιπόμεσθα, ἃ δ' οὐχ Pseudoherodoti Vita Suidas, λιπόμεσθα, ὅσα δ' οὐχ Vita Hom. codicis Romani bibl. Vict. Em. gr. 6 et Vitae V. Homeri codd. pars, λιπόμεσθ', ὅσσ' οὐχ Pseudoplutarchi Vita B., λιπόμεσθ', οὓς δ' οὐχ Proclus φερόμεθα F Vitae V. codd. CM

οὐ νοήσας τὸ λεχθέν, ἤρετο αὐτοὺς ὅ τι λέγοιεν. οἱ δέ φασιν ἐν ἁλείᾳ μὲν ἀγρεῦσαι μηδέν, ἐφθειρίσθαι δέ, καὶ τῶν φθειρῶν οὓς ἔλαβον καταλιπεῖν, οὓς δὲ οὐκ ἔλαβον ἐν τοῖς ἱματίοις φέρειν. ἀναμνησθεὶς δὲ τοῦ μαντείου, ὅτι τὸ τέλος αὐτοῦ ἥκοι τοῦ βίου, ποιεῖ τὸ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα. ἀναχωρῶν δὲ ἐκεῖθεν, ὄντος πηλοῦ ὀλισθὼν καὶ πεσὼν ἐπὶ τὴν πλευράν, τριταῖος ὥς φασι τελευτᾷ· καὶ ἐτάφη ἐν Ἴῳ. ἔστι δὲ τὸ ἐπίγραμμα τόδε·

ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
  ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ὅμηρον.

342 sq. δὲ τοῦ] δ' ἐκ τοῦ malit Westermann 343 αὐτῷ malit Westermann 344 αὐτοῦ F 348 κάλυψεν Pseudo-herodotus Vita Hom. p. 19 W.

INDEX NOMINUM

Stellulis ornata sunt nomina e coniectura in textum recepta; ea, quae corrupta esse videbantur, uncis ( ) inclusi. Th. = Theogonia, O. = Opera et Dies, S. = Scutum, Fr. = Fragmenta, v. l. = varia lectio

—*—

ADDENDUM

Scut. 212 *ε*⟩ΦΟΙΝΕΟΝ lectionem papyri Q ex *ἐφοί⟨κ⟩νεον* = *ἐποίχνεον* adspiratione mutata natam esse suspicatur C. Liter. Centralbl. 1907, 443

Fragm. 96, 94 init. *οῖο*⟩ς̣ scribendum esse censet Klouček; an *πάμπα*⟩ν̣?

Ausgewählte kleine Schriften. Von **Heinrich Gelzer.** Mit einem Bilde Gelzers. [V u. 429 S.] gr. 8. 1907. geh. ℳ 5.—, in Leinwand geb. ℳ 6.—

Die hier gesammelten Aufsätze wenden sich an die weiteren Kreise der Gebildeten Die ersten drei führen in die byzantinische Zeit ein, die dem Verf. besonders nahe lag. Sie beschäftigen sich mit einem griechischen Volksschriftsteller des 7. Jahrhunderts (Leontios von Neapolis), dem Verhältnis von Staat und Kirche in Byzanz, sowie den Konzilien als Reichsparlamenten. Die folgenden Schilderungen des armenischen Klosters San Lazzaro in Venedig und des ältesten Gotteshauses diesseits der Alpen, St. Maurice, sowie der Aufsatz pro monachis zeigen als einen ganz speziellen Charakterzug Gelzers seine Vorliebe für Klöster und Mönchtum. Daß er aber trotzdem kein Mann war, der sich in seine Studierstube zurückzog, sondern dessen Beobachtung und Urteil ganz dem staatlichen und kirchlichen Leben seiner Zeit gehörte, beweisen Aufsätze über Bischof von Hefele und seine Rede auf den Großherzog Carl Alexander. Ganz besonderes Interesse dürfen aber seine „Wanderungen und Gespräche mit Ernst Curtius", sowie sein Aufsatz über Jacob Burkhardt erregen, da sie eine Fülle unmittelbarer Äußerungen dieser beiden enthalten. So ist diese Auswahl wohl geeignet, eine Vorstellung von Gelzers vielseitigen Interessen und von seiner scharfumrissenen Persönlichkeit zu geben.

Charakteristik der lateinischen Sprache. Von Prof. Dr. **O. Weise.** 3. Aufl. [VI u. 190 S.] gr. 8. 1905. geh. ℳ 2.80, in Leinw. geb. ℳ 3.40.

„Weises gedankenvolles und inhaltreiches Buch über die lateinische Sprache erschien erst 1891. Aus einer liebevollen Vertiefung in den interessanten Gegenstand geboren, überraschte es durch eine Fülle treffender Urteile des sprachkundigen Verfassers; der gewandte, gefällige Stil machte es zu einer angenehmen Lektüre . . . Als erste zusammenfassende Darstellung des Charakters der lateinischen Sprache war es in seiner Art neu. All die tausendfältigen Beobachtungen, die erfahrene Sprachkenner über lateinische Redeweise gelegentlich gemacht hatten, stellte es mit eigenem Urteil übersichtlich zusammen; Andeutungen der Grammatiker wurden weiter verfolgt, immer unter dem Gesichtspunkte, den Gründen der sprachlichen Erscheinungen nachzuforschen und von der höheren Warte der psychologischen Betrachtung aus ein richtiges Urteil zu gewinnen." (Wochenschrift für klass. Philologie 1900. Nr. 15.)

Das Fortleben der Horazischen Lyrik seit der Renaissance. Von **Eduard Stemplinger.** Mit 9 Abbildungen im Text. [XIX u. 476 S.] gr. 8. 1906. geh. ℳ 8.—, in Leinwand geb. ℳ 9.—

Schildert das Fortleben der Horazischen Lyrik seit der Renaissance in England, Frankreich, Italien und vornehmlich in Deutschland. Wie Horaz als Lyriker die Weltliteratur, die Musik und bildende Kunst beeinflußt hat, wird zunächst in einer knappen Übersicht dargelegt. Im zweiten Teil werden die Oden und Epoden einzeln behandelt, insofern sie entweder im ganzen in ernsten und scherzhaften Um- und Nachdichtungen fortleben oder sich in einzelnen Stellen lebens- und keimfähig erwiesen. Reproduzierte Illustrationen (von der ältesten vom Jahre 1498 bis zur jüngsten 1905) und musikalische Vertonungen beleuchten den Einfluß des Horaz auf die Künste. Die Zusammenstellung gibt eine überwältigende, bisher nur bruchstückweise gekannte Anschauung von der weitverzweigten Einwirkung des römischen Dichters auf das Geistesleben der Kulturvölker. Ein ausführliches Register erleichtert die Benützung des Werkes. Eine wertvolle Zugabe ist die hier zum ersten Male gebotene Zusammenstellung der überall zerstreuten Übersetzungen der Lyrika.

Aus Vergils Frühzeit. Von **Franz Skutsch.** [XII u. 170 S.] gr. 8. 1901. geh. ℳ 4.—, in Leinwand geb. ℳ 4.60.

Gallus und Vergil. (Aus Vergils Frühzeit. II. Teil.) Von **Franz Skutsch.** [VI u. 202 S.] gr. 8. 1906. geh. ℳ 5.—, in Leinwand geb. ℳ 5.60.

„. . . das ausgezeichnete Buch . . ., in dem Skutsch in einer Untersuchung, die das Muster einer literargeschichtlichen, durch eindringende produktive Kritik und scharfsinnige Kombination gleich hervorragenden Studie genannt werden muß, zu ganz neuen — wenigstens in ihrer Zusammenfassung ganz neuen — Resultaten über Cornelius Gallus gelangt ist; des Gallus dichterische Individualität und Bedeutung haben wir erst durch Skutsch kennen gelernt." (Jahresber. üb. d. Fortschr. d. klass. Altertumsw. 109. Band.)

Der II. Teil bringt die Erwiderung auf die gegen den I. geäußerten Widersprüche, nachdem Drachmann auch zu dem Ergebnis gekommen war, daß die Beweisführung des Verfassers, soweit sie die Zeitbestimmung der Ciris betrifft (vor Vergils Eklogen), unerschütterlich ist.

Singular und Plural. Forschungen über Form und Geschichte der griechischen Poesie. Von **K. Witte.** [VIII u. 270 S.] gr. 8. 1907. geh. *M.* 8.—, in Leinwand geb. *M.* 9.—

Das Buch handelt über den sogenannten „poetischen" Singular und Plural. Während die beiden ersten Kapitel eine allgemeine Geschichte der Erscheinung von Homer bis Euripides enthalten, haben die folgenden drei Kapitel die Sprachformen der einzelnen Dichter zum Gegenstand ihrer Untersuchung. Im dritten Kapitel ist der Versuch gemacht, die Homerischen Sprachformen nach ihrem Alter in drei Schichten zu sondern und die hieraus sich ergebenden Konsequenzen bezüglich des zeitlichen Verhältnisses der einzelnen Bücher in Ilias und Odyssee zu ziehen. Mit den Sprachformen bei Homer werden diejenigen bei Hesiod, in den Homerischen Hymnen und der Batrachomachie verglichen, wobei sich für die Datierung der letzteren mehrere neue Anhaltspunkte ergeben (4. Kapitel). Die Untersuchung über Pindar, die Tragiker und Aristophanes bringt neues Material zur Stellung der Sprachformen dieser Dichter innerhalb der griechischen Literatursprache und zeigt gleichzeitig, wie unsere Erscheinung auch textkritisch von Bedeutung sein kann (5. Kapitel). Zwei Anfänge handeln kurz über Apollonius von Rhodos und das alexandrinische Kunstepos und über das Vorkommen dichterischer Numeri bei den griechischen Prosaikern.

Vorarbeiten zur griechischen Versgeschichte. Von **Otto Schröder.** [VII u. 166 S.] gr. 8. 1908. geh. *M.* 5.—, in Leinwand geb. *M.* 6.—

„Die bisher in lauter kleinen Bissen bald hier bald dort hingeworfenen Vorarbeiten zur griechischen Versgeschichte, soweit sie nicht bereits in Buchform zugänglich sind, sollen hier einmal zusammen und in ausgeglichener Gestalt vorgelegt werden. Zwischen den schematischen Analysen und einer Wiederbelebung der Strophen, wie zwischen den hier vereinigten Skizzen und einer nur einigermaßen erschöpfenden Kenntnis der Lebensvorgänge innerhalb des Werdens und Vergehens griechischer Rhythmen dehnen sich noch weite unbefahrne Strecken. Für jetzt wär ich froh, wenn über ganz elementare Begriffe, als Katalexe, Fermate, Synaphie, Hebungsvers, Silbenzählung, Silbenmessung und die Gezeiten sozusagen lyrischer Perioden, lauter Dinge, über die bei der Mehrzahl der Philologen, teilweise auch bei ihren Führern, Unklarheit herrscht, sich einiges Licht verbreitete." (Aus der Voranzeige.)

Zwei griechische Apologeten von **J. Geffcken.** (Sammlung wissenschaftlicher Kommentare. [XLIII u. 333 S.] gr. 8. 1907. geh. *M.* 10.—, in Leinwand geb. *M.* 11.—.

Das Buch gibt zunächst eine kurze Geschichte der Anfänge der Apologetik bis auf Aristides (Streit der Philosophen über den Polytheismus, über Opfer und Götterbilder, Anschauungen der jüdischen Hellenisten, apologetische Kämpfe gegen die Griechen), dann folgt eine Ausgabe des Aristides und der dazu gehörige Kommentar, eine kurze Würdigung Justins und Tatians, dann wieder eine Ausgabe des Athenagoras mit Kommentar; zum Schlusse wird noch die weitere Entwicklung der Apologetik und der literarische Kampf zwischen Christen und Heiden bis zum 6. Jahrhundert geschildert.

Neben der Erkenntnis der einzelnen Streitmittel und Motive wurde besonders versucht, das Bild der hervorragenden Kämpfer in beiden Lagern plastisch herauszuarbeiten. Das Buch kann somit als eine Art Geschichte der altchristlichen Apologetik dienen.

Homer. Bearbeitet von **Dr. Georg Finsler.** [XVIII u. 618 S.] gr. 8. 1908. geh. *M.* 6.—, in Leinwand geb. *M.* 7.—

Das Buch wendet sich zunächst an die Lehrer aller der höheren Schulen, an denen Homer nicht im Original gelesen wird, dann an den großen Kreis der Gebildeten aller Stände. Manchem von ihnen wird es Homer näher bringen, sowohl durch die zusammenhängenden Erklärungen einzelner Stücke als durch die systematische Darstellung der homerischen Welt und Technik. Das Buch ist vor allem zum Lesen bestimmt und soll ein Gesamtbild geben. Vollständigkeit in den Angaben konnte nicht erstrebt werden, da bei dem gewaltigen Stoff eine solche beinahe unmöglich und der Durchsichtigkeit der Darstellung nicht förderlich gewesen wäre. Daß diese möglichst gedrängt sein mußte, liegt bei der Fülle des Materials auf der Hand. Es sind deshalb auch die angeführten homerischen Stellen selten im vollen Wortlaut gegeben, weil der Umfang des Buches doch nicht zu sehr anschwellen durfte. In der Skizze über die Homerkritik konnte, dem Plan und Umfang des Buches gemäß, keine irgendwie erschöpfende Geschichte der Homerfrage gegeben werden. Nicht nur mußten die sprachlichen und metrischen Gesichtspunkte und die Erwägungen über das Detail wegfallen, sondern es durfte auch aus der Masse der Schriften nur eine Auswahl geboten werden.

Verlag von B. G. Teubner in Leipzig und Berlin.

Homer. Bearbeitet von Rektor Dr. Georg Finsler. (Aus deutschen Lesebüchern. VI, 2.) Geh. *M.* 6.—, in Leinwand geb. *M.* 7.—

Das Buch wendet sich zunächst an die Lehrer an Schulen, an denen Homer nicht im Original gelesen wird, dann an den großen Kreis der Gebildeten aller Stände. Manchem von ihnen wird es Homer näher bringen, sowohl durch die zusammenhängenden Erklärungen einzelner Stücke als durch die systematische Vorstellung der homerischen Welt und Technik. Das Buch ist vor allem zum Lesen bestimmt und soll ein Gesamtbild geben. Vollständigkeit in den Angaben konnte nicht erstrebt werden, da bei dem gewaltigen Stoff eine solche beinahe unmöglich und der Durchsichtigkeit der Darstellung nicht förderlich gewesen wäre. Daß diese möglichst gedrängt sein mußte, liegt bei der Fülle des Materials auf der Hand. Es sind deshalb auch die angeführten homerischen Stellen selten im vollen Wortlaut gegeben, weil der Umfang des Buches doch nicht zu sehr anschwellen durfte. In der Skizze über die Homerkritik konnte, dem Plan und Umfang des Buches gemäß, keine irgendwie erschöpfende Geschichte der Homerfrage gegeben werden. Nicht nur mußten die sprachlichen und metrischen Gesichtspunkte und die Erwägungen über das Detail wegfallen, sondern es durfte auch aus der Masse der Schriften nur eine Auswahl geboten werden.

Das griechische Drama: Aischylos, Sophokles, Euripides. Bearbeitet von Professor Dr. Johannes Geffcken. (Aus deutschen Lesebüchern. VI, 1.) Mit einem Plan des Dionysostheaters zu Athen. Geh. *M.* 1.60, in Leinwand geb. *M.* 2.20.

Das Buch bietet ein lebendiges Bild des dramatischen Lebens in Athen. Verfasser behandelt die einzelnen hervorragenden Werke nach geschichtlicher Folge und Beziehung zueinander. Die Kunstmittel der alten Tragödie in ihrer Entwicklung und Fortwirkung werden in das rechte Licht gesetzt und die Persönlichkeiten der Dichter klar herausgearbeitet. Historische Kritik und ästhetische Behandlung sind zu einem harmonischen Ganzen vereint. Das Buch wird bei allen Freunden der Antike, Laien und Fachleuten, lebhaftes Interesse finden.

Charakterköpfe aus der antiken Literatur. Von Prof. Dr. Eduard Schwartz. Fünf Vorträge: 1. Hesiod und Pindar. 2. Thukydides und Euripides. 3. Sokrates und Plato. 4. Polybios und Poseidonios. 5. Cicero. 2. Aufl. Geh. *M.* 2.—, in Leinwand geb. *M.* 2.60.

Die Vorträge wenden sich an ein größeres Publikum. In weiten Kreisen richtet sich die Beurteilung des Altertums noch immer nach dem Stande, den die Altertumswissenschaft vor etwa 60 Jahren einnahm. Demgegenüber wird in diesen Vorträgen der Versuch gemacht, an einzelnen Beispielen zu zeigen, wieviel bestimmter und schärfer das Bild der antiken Literatur durch die wissenschaftliche Arbeit der letzten Generationen geworden ist. Als Beispiele sind stark ausgeprägte Individualitäten gewählt, die sich mit präzisen Linien zeichnen lassen.

Die Sagen des klassischen Altertums. Von Stoll-Lamer. Neu bearbeitet von Dr. Hans Lamer, Oberlehrer in Leipzig. 2 Bände. Mit 79 Abbildungen im Text und auf 6 Tafeln. 6. Auflage. Band I und II in Leinwand geb. je *M.* 3.60. Jeder Band ist einzeln käuflich. Beide Bände zusammen geb. *M.* 6.—

Die Götter des klassischen Altertums. Von Stoll-Lamer. Populäre Mythologie der Griechen und Römer. Neu bearbeitet von Dr. Hans Lamer, Oberlehrer in Leipzig. 8. Auflage. Mit 92 Abbild. In Leinwand geb. *M.* 4.50.

Die allbekannten Werkchen **Stolls**, der sich um die Verbreitung und Popularisierung der Kenntnis des klassischen Altertums so hohe Verdienste erworben hat, erscheinen hier in neuer Form und in neuem, wesentlich verbessertem Gewande.

Band I behandelt Sagenreihen wie die von Herakles, Theseus, den Argonauten, Oidipus usw., Band II wesentlich den Inhalt von Ilias und Odyssee.

„Die Götter des klassischen Altertums“ behandeln die Götter des Olympos, der Gewässer, [illegible] ren Gottheiten der Römer.

[illegible] ungen sind in bestmöglicher Wiedergabe ganz neu her- [illegible] Bücher in ihrer Neugestaltung als die besten Orien- [illegible] und die antike Mythologie gelten dürfen und sich bald [illegible] n ihrer alten Form durch Jahrzehnte bewahrt haben.